Auf spätere abschnitte verweist Herodot auch I 106 καὶ τήν τε Νῖνον εἶλον (Μῆδοι)· ὡς δὲ εἶλον, ἐν ἑτέροισι λόγοισι δηλώσω. c. 184 τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλλοι ἐγένοντο βασιλέες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι (vgl. hist. zeitschr. XXIII 426). VII 213 Ephialtes ward später getödtet δι' ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω.

Herodot wird der parteilichkeit beschuldigt in Plutarchs schrift περὶ τῆς Ἡροδότου κακοηθείας (Moral. p. 854—874). vgl. Gust. Lahmeyer, *de libelli Plutarchei, qui de malignitate Herodoti inscribitur, et auctoritate et auctore.* Götting. 1848. 4.

Herodots darstellungsweise: Athen. III p. 78e ὁ δὲ θαυμασιώτατος καὶ μελίγηρυς Ἡρόδοτος. Cic. orat. 12, 39 *quo magis sunt Herodotus Thucydidesque mirabiles —. alter enim sine ullis salebris quasi sedatus amnis fluit, alter incitatior fertur et de bellicis rebus canit etiam quodam modo bellicum: primisque ab his, ut ait Theophrastus, historia commota est, ut auderet uberius quam superiores et ornatius dicere.* Quintil. X 1, 73 *historiam multi scripsere praeclare, sed nemo dubitat longe duos ceteris praeferendos, quorum diversa virtus laudem pacne est parem consecuta. densus et brevis et semper instans sibi Thucydides, dulcis et candidus et fusus Herodotus: ille concitatis hic remissis affectibus melior, ille contionibus hic sermonibus, ille vi hic voluptate.* Dionys. schr. an Cn. Pompej. 3 p. 776 sq. — Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρόδοτος δὲ τά γ' ἤθη παραστῆσαι δεινότερος — — ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστ' ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. vgl. o. s. 19 f.

Digitized by Google

§ 18. Antiochos von Syrakus.

Müller FHG I XLV. 181. Ed. Wölfflin, Antiochos v. Syrakus (u. Coelius Antipater). Winterthur 1872.

Diod. XII 71. ol. 89, 1. 424. *τῶν δὲ συγγραφέων Ἀντίοχος ὁ Συρακόσιος τὴν τῶν Σικελικῶν ἱστορίαν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστρεψεν, ἀρξάμενος ἀπὸ Κωκάλου τοῦ Σικανῶν βασιλέως, ἐν βίβλοις ἐννέα.*

Paus. X 11, 3 *Ἀντίοχος ὁ Ξενοφάνους Συρακούσιος ἐν τῇ Σικελιώτιδι συγγραφῇ.*

Strab. VI p. 254 *Ἀντίοχος ἐν τῷ περὶ τῆς Ἰταλίας συγγράμματι.*

Dionys. archaeol. I 12 p. 34 *Ἀντίοχος δὲ ὁ Συρακούσιος, συγγραφεὺς πάνυ ἀρχαῖος, ἐν Ἰταλίας οἰκισμῷ τοὺς παλαιοτάτους οἰκήτορας διεξιών, ὡς ἕκαστοί τι μέρος αὐτῆς κατεῖχον, Οἰνώτρους λέγει πρώτους τῶν μνημονευομένων ἐν αὐτῇ κατοικῆσαι, εἰπὼν ὧδε· 'Ἀντίοχος Ξενοφάνεος τάδε συνέγραψε περὶ Ἰταλίης ἐκ τῶν ἀρχαίων λόγων τὰ πιστότατα καὶ σαφέστατα· τὴν γῆν ταύτην, ἥτις νῦν Ἰταλία καλεῖται, τὸ παλαιὸν εἶχον Οἰνωτροι'. ἔπειτα διεξελθὼν ὃν τρόπον ἐπολιτεύοντο, καὶ ὡς βασιλεὺς ἐν αὐτοῖς Ἰταλὸς ἀνὰ χρόνον ἐγένετο, ἀφ' οὗ μετωνομάσθησαν Ἰταλοί, τούτου δὲ τὴν ἀρχὴν Μόργης διεδέξατο, ἀφ' οὗ Μόργητες ἐκλήθησαν, καὶ ὡς Σικελὸς ἐπιξενωθεὶς Μόργητι ἰδίαν πράττων ἀρχὴν διέστησε τὸ ἔθνος, ἐπιφέρει ταυτί· 'οὕτω δὲ Σικελοὶ καὶ Μόργητες ἐγένοντο καὶ Ἰταλίτες, ἐόντες Οἰνωτροι'.* c. 73 p. 185s. — *ταῦτα δὲ οὐ τῶν ἐπιτυχόντων τις οὐδὲ νέων συγγραφεὺς ἱστόρηται, ἀλλ' Ἀντίοχος ὁ Συρακούσιος —. φησὶ δὲ Μόργητος ἐν Ἰταλίᾳ βασιλεύοντος (ἦν δὲ τότε Ἰταλία ἡ ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας παράλιος) ἐλθεῖν ὡς αὐτὸν ἄνδρα φυγάδα ἐκ Ῥώμης. λέγει δὲ ὧδε· 'ἐπεὶ δὲ Ἰταλὸς κατεγήρα Μόργης ἐβασίλευσεν. ἐπὶ τούτου δὲ ἀνὴρ ἀφίκετο ἐκ Ῥώμης φυγάς· Σικελὸς ὄνομα αὐτῷ'.* vgl. Aristot. pol. VII 9, 2 (p. 1329) *φασὶ γὰρ οἱ λόγιοι τῶν ἐκεῖ κατοικούντων Ἰταλόν τινα γενέσθαι βασιλέα τῆς Οἰνωτρίας, ἀφ' οὗ τό τε ὄνομα μεταβαλόντας Ἰταλοὺς ἀντ' Οἰνωτρῶν καλεῖσθαι κτέ.* Auch Thukydides scheint aus Antiochos geschöpft zu haben.

§ 19. Thukydides von Athen.

K. W. Krüger, leben des Thukydides (1832). epikritischer nachtrag (1839) in Krügers krit. Analecten I 1863. W. Roscher Klio. I. leben,

Digitized by Google

werke und zeitalter das Thukydides. Gött. 1842. Franz Wolfg. Ullrich beiträge etc. Hamburg 1846. 50. 51. 52. 62. Jul. Steup quaestiones Thucydideae. Bonn 1868. Ludw. Ćwikliński, quaestiones de tempore etc. Gnes. 1873. Hermes XII 54. Herm. Müller-Strübing thukyd. forschungen. Wien 1881. Abhandlungen v. Ad. Kirchhoff. Hermes XII 368. ber. d. ak. Berl. 1880. s. 853. Ulr. v. Wilamowitz, die Thukydideslegende. Hermes XII 326; vgl. R. Schöll eb. XIII 433. Ad. Michaelis, die bildnisse des Thukydides. Strassb. 1877. 4. § 19.

Ausgaben (mit den scholien) von Car. Andr. Duker. Amsterd. 1731 fol. I. Bekker IV Voll. Oxford 1821 (III Voll. Berl. 1821). Ernst Fr. Poppo. IV Ptes in 11 voll. Leipz. 1821 sqq. mit erklär. anmerk. (ohne scholien) von Krüger (1846) n. aufl. Berlin 1858 ff. Classen 1862 ff. text von J. Matth. Stahl. Leipz. 1873 f.

Dionysius von Halikarnass *ἐπιστολὴ πρὸς Γναῖον Πομπήιον. περὶ τοῦ Θουκυδίδου χαρακτῆρος καὶ τῶν λοιπῶν τοῦ συγγραφέως ἰδιωμάτων. ἐπιστολὴ πρὸς Ἀμμαῖον δευτέρα περὶ τῶν Θουκυδίδου ἰδιωμάτων.* V 750—808 R. Dionysii historiographica ed. Car. Guil. Krüger. Subiectae sunt ei. comment. crit. et historicae de Thucydidis historiarum parte postrema. Halle 1823.

Μαρκελλίνου περὶ τοῦ Θουκυδίδου βίου καὶ τῆς ἰδέας αὐτοῦ (Westermann *βιογρ.* p. 186) aus wenigstens drei verschiedenen aufsätzen zusammengesetzt. vgl. Fz. Ritter u. Rh. mus. III 321. 1845.—Anon. biogr. (Westermann p. 200).

Suidas: *Θουκυδίδης Ὀλόρου Ἀθηναῖος, παῖδα δὲ ἔσχε Τιμόθεον. ἦν δὲ ἀπὸ μὲν πατρὸς Μιλτιάδου τοῦ στρατηγοῦ τὸ γένος ἔλκων, ἀπὸ δὲ μητρὸς Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως· μαθητὴς Ἀντιφῶντος. ἤκμαζε κατὰ τὴν πζ' ὀλυμπιάδα, ἔγραψε δὲ τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. —*

Plutarch. Kimon 4 *Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως —. διὸ καὶ Θουκυδίδης ὁ ἱστορικὸς τοῖς περὶ Κίμωνα κατὰ γένος προσήκων Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγυνον ἀναφέροντος τὴν ὁμωνυμίαν καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ (τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον) λέγεται φονευθεὶς ἐκεῖ, μνῆμα δ' αὐτοῦ τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων ἐν τοῖς Κιμωνείοις δείκνυται παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος γέγονε τῶν δήμων, οἱ δὲ περὶ τὸν Μιλτιάδην Λακιάδαι.*

Über die verwandtschaft mit Miltiades und Oloros vgl. Marcellin *α* § 2. 10—19. anon. § 1. über sein geburtsjahr Marc. § 34 *παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα τῆς συγγραφῆς τὴν προθεσμίαν.* Pamphile s. o. § 16.

Digitized by Google

§ 19. Thuk. I 1 *Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων.* V 26 von den begebenheiten nach dem frieden des Nikias: *γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος ἐξῆς, ὡς ἕκαστα ἐγένετο, κατὰ θέρη καὶ χειμῶνας, μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν τῶν Ἀθηναίων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι καὶ τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ κατέλαβον. ἔτη δὲ ἐς τοῦτο τὰ ξύμπαντα ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσιν. — ξὺν τῷ πρώτῳ πολέμῳ τῷ δεκαετεῖ καὶ τῇ μετ' αὐτὸν ὑπόπτῳ ἀνακωχῇ καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ εὑρήσει τις τοσαῦτα ἔτη —. ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβές τι εἴσομαι· καὶ ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων διὰ τὴν φυγήν, καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον αἴσθεσθαι.* andere beziehungen auf das ende des kriegs I 13, 4. 18, 1. II 65, 7—12.

II 48, 2 von der pest zu Athen: *ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴ ποτε καὶ αὖθις ἐπισπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.*

IV 104, 2—107, 1 über die capitulation von Amphipolis (424): *οἱ δ' ἐναντίοι τοῖς προδιδοῦσι (τὴν πόλιν) — πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ — ἐπὶ τὸν ἕτερον στρατηγὸν τῶν ἐπὶ Θρᾴκης, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε ξυνέγραψεν, ὄντα περὶ Θάσον —, κελεύοντες σφίσι βοηθεῖν. καὶ ὁ μὲν ἀκούσας κατὰ τάχος ἑπτὰ ναυσὶν ἃς ἔτυχον παροῦσαι ἔπλει καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν πρίν τι ἐνδοῦναι, εἰ δὲ μή, τὴν Ἠιόνα προκαταλαβών. ἐν τούτῳ δὲ ὁ Βρασίδας δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θρᾴκῃ καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν — καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο κτέ. — — καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν, ὁ δὲ Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν Ἠιόνα. καὶ τὴν μὲν Ἀμφί-*

Digitized by Google

πολιν Βρασίδας ἅρτι εἶχεν, τὴν δὲ Ἠιόνα παρὰ νύκτα ἐγέ- § 19.
νετο λαβεῖν· εἰ γὰρ μὴ ἐβοήθησαν αἱ νῆες διὰ τάχους, ἅμα
ἕῳ ἂν εἶχετο. μετὰ δὲ τοῦτο ὁ μὲν τὰ ἐν τῇ Ἠιόνι καθ-
ίστατο, ὅπως καὶ τὸ αὐτίκα, ἢν ἐπίῃ ὁ Βρασίδας, καὶ τὸ
ἔπειτα ἀσφαλῶς ἕξει κτέ.

Marcell. α § 23 τὸ πρῶτον ἀτύχημα εἰς ἁμάρτημα μεταλαβόντες φυγαδεύουσιν αὐτόν. β § 46 ἰστέον δ' ὅτι στρατηγήσας ἐν Ἀμφιπόλει ὁ Θ. καὶ δόξας ἐκεῖ βραδέως ἀφικέσθαι καὶ προλαβόντος αὐτὸν τοῦ Βρασίδου ἐφυγαδεύθη ὑπ' Ἀθηναίων διαβάλλοντος αὐτὸν τοῦ Κλέωνος. γ § 55 ἐπὶ προδοσίᾳ φεύγοντα. anon. § 3 αἰτίαν ἔσχε προδοσίας ἐκ βραδυτῆτός τε καὶ ὀλιγωρίας.

Thukydides sprechen schuldig Grote hist. of Gr. VI 565. Oncken Athen u. Hellas II 319: dagegen E. Curtius gr. gesch. II[4] 487. 826. Herm. Hiecke, der hochverrath des geschichtschr. Th. Berlin 1869. Classen anh. zu Th. IV 106.

Thukydides hielt sich als verbannter in Thrakien auf. Plut. v. d. verbannung 14 p. 605[e] Θ. Ἀθ. συνέγραψε τὸν πόλεμον τῶν Π. κ. Ἀ. ἐν Θρᾴκῃ περὶ τὴν Σκαπτὴν ὕλην. Dion. π. τ. Θουκ. χ. 41 p. 918 m. Krügers anm. Marcell. α § 25 διατρίβων ἐν Σκαπτῇ ὕλῃ ὑπὸ πλατάνῳ ἔγραφεν. μὴ γὰρ δὴ πειθώμεθα Τιμαίῳ λέγοντι ὅτι φυγὼν ᾤκησεν ἐν Ἰταλίᾳ. β § 46. 47.

Cic. de orat. II 13, 56 *Thucydides — hos libros tum scripsisse dicitur, cum a republica remotus atque — in exilium pulsus esset.* Plin. NH. VII 111 *Thucydiden imperatorem Athenienses in exilium egere, rerum conditorem revocavere, eloquentiam mirati, cuius virtutem damnaverant.*

Paus. I 23, 9 Οἰνοβίῳ δὲ ἔργον ἐστὶν ἐς Θουκυδίδην τὸν Ὀλόρου χρηστόν· ψήφισμα γὰρ ἐνίκησεν Οἰνόβιος κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην. καί οἱ δολοφονηθέντι, ὡς κατῄει, μνῆμά ἐστιν οὐ πόρρω πυλῶν Μελιτίδων.

Marcellin. α § 16. 17 ὅτι γὰρ Ὄλορός ἐστι (πατὴρ αὐτῷ) δηλοῖ . . Θουκυδίδου τάφος. — καὶ Πολέμων . . προσιστορεῖ . . § 31—33 οἱ μὲν οὖν αὐτὸν ἐκεῖ λέγουσιν ἀποθανεῖν ἔνθα καὶ διέτριβε φυγὰς ὤν, καὶ φέρουσι μαρτύριον τοῦ μὴ κεῖσθαι τὸ σῶμα ἐπὶ τῆς Ἀττικῆς· ἴκριον γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι, τοῦ κενοταφίου δὲ τοῦτο γνώρισμα εἶναι ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ τοιαύτῃ δυστυχίᾳ τετελευτηκότων καὶ μὴ ἐν Ἀθήναις ταφέντων. Δίδυμος δ' ἐν Ἀθή-

Digitized by Google

§ 19. ναις ἀπὸ τῆς φυγῆς ἐλθόντα βιαίῳ θανάτῳ· τοῦτο δέ φησι Ζώπυρον ἱστορεῖν. τοὺς γὰρ Ἀθηναίους κάθοδον δεδωκέναι τοῖς φυγάσι πλὴν τῶν Πεισιστρατιδῶν μετὰ τὴν ἧτταν [τὴν ἐν Σικελίᾳ]· ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίᾳ καὶ τεθῆναι ἐν τοῖς Κιμωνίοις μνήμασιν. καὶ καταγινώσκειν εὐήθειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὲν τετελευτηκέναι, ἐπὶ γῆς δὲ τῆς Ἀττικῆς τεθάφθαι. ἢ γὰρ οὐκ ἂν ἐτέθη ἐν τοῖς πατρῴοις μνήμασιν, ἢ κλέβδην τεθεὶς οὐκ ἂν ἔτυχεν οὔτε στήλης οὔτ' ἐπιγράμματος, ἢ τῷ τάφῳ προσκειμένη μηνύει τοῦ συγγραφέως τοὔνομα. ἀλλὰ δῆλον ὅτι κάθοδος ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει καὶ Δημήτριος ἐν τοῖς ἄρχουσιν. ἐγὼ δὲ Ζώπυρον ληρεῖν νομίζω λέγοντα τοῦτον ἐν Θρᾴκῃ (Ἀττικῇ Poppo) τετελευτηκέναι, κἂν ἀληθεύειν νομίζῃ Κράτιππος αὐτόν. τὸ δ' ἐν Ἰταλίᾳ Τίμαιον αὐτὸν καὶ ἄλλους λέγειν κεῖσθαι μὴ καὶ σφόδρα καταγέλαστον ᾖ. β § 45 ἀπέθανε δὲ μετὰ τὸν πόλεμον τ. Πελ. ἐν τῇ Θρᾴκῃ συγγράφων τὰ πράγματα τοῦ κα' ἐνιαυτοῦ. γ § 55 ἐτελεύτησε δὲ ἐν τῇ Θρᾴκῃ· καὶ οἱ μὲν λέγουσιν ὅτι ἐκεῖ ἐτάφη, ἄλλοι δὲ λέγουσιν ὅτι ἐν ταῖς Ἀθήναις ἠνέχθη αὐτοῦ τὰ ὀστᾶ κρύφα παρὰ τῶν συγγενῶν καὶ οὕτως ἐτάφη· οὐ γὰρ ἐξῆν φανερῶς θάπτειν ἐν Ἀθήναις τὸν ἐπὶ προδοσίᾳ φεύγοντα. ἔστι δὲ αὐτοῦ τάφος πλησίον τῶν (Μελιτίδων § 17. anon. § 10) πυλῶν, ἐν χωρίῳ τῆς Ἀττικῆς ὃ Κοίλη καλεῖται, καθά φησιν Ἄντυλλος, ἀξιόπιστος ἀνὴρ μαρτυρῆσαι καὶ ἱστορίαν γνῶναι καὶ διδάξαι δεινός. καὶ στήλη δέ, φησίν, ἕστηκεν ἐν τῇ Κοίλῃ "Θουκυδίδης Ὀλόρου Ἁλιμούσιος" ἔχουσα ἐπίγραμμα.

Thukydides † vor dem ausbruche des Ätna ol. 98, 1. 396 (Diod. XIV 59. Oros. II 18. vgl. m. Thuk. III 116).

Seine rhetorischen studien: L. d. X redner p. 832e Καικίλιος δὲ ἐν τῷ περὶ αὐτοῦ (Ἀντιφῶντος) συντάγματι Θουκυδίδου τοῦ συγγραφέως μαθητὴν (καθηγητὴν Wyttenbach) τεκμαίρεται γεγονέναι, ἐξ ὧν ἐπαινεῖται παρ' αὐτῷ (VIII 68) ὁ Ἀντιφῶν. Marcell. α § 22 ἤκουσε δὲ διδασκάλων Ἀναξαγόρου μὲν ἐν φιλοσόφοις, ὅθεν, φησὶν ὁ Ἄντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη τῆς ἐκεῖθεν θεωρίας ἐμφορηθείς, Ἀντιφῶντος δὲ ῥήτορος, δεινοῦ τὴν ῥητορικὴν ἀνδρός, οὗ καὶ μέμνηται κτέ. § 36 ἐζήλωσε δὲ ἐπ' ὀλίγον, ὥς φησιν Ἄντυλλος, καὶ τὰς Γοργίου τοῦ Λεοντίνου παρισώσεις καὶ τὰς ἀντιθέσεις τῶν ὀνομάτων, εὐδοκιμούσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι, καὶ μέντοι καὶ Προδίκου τοῦ

Digitized by Google

Κείου τὴν ἐπὶ τοῖς ὀνόμασιν ἀκριβολογίαν. Über Gorgias auch Marc. *β* § 51. Philostr. vit. sophist. I 9 p. 492. epist. 13 p. 919 (73 p. 364 Kays.). § 19.

Verhältnis des Thukydides zu seinen vorgängern:

I 21, 1 schätzung der älteren begebenheiten: *οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν ἐπὶ τὸ μεῖζον κοσμοῦντες μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα.* Sein urteil über Hellanikos' Atthis s. o. § 16; abweichende chronologie I 12, 3 *Βοιωτοί τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν — τὴν νῦν μὲν Βοιωτίαν, πρότερον δὲ Καδμηίδα γῆν καλουμένην ᾤκισαν —, Δωριῆς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον.*

Die episoden des Thukydides dienen dazu Herodot teils a) zu ergänzen: Thukyd. I 89—96 knüpft an mit der einnahme von Sestos und schildert den ursprung der attischen hegemonie; c. 97—118 behandelt die geschichte der herrschaft Athens (*πεντηκονταετία* oder *πεντηκονταετηρίς* Schol. zu I 18, 6. 42, 2. 75, 2. 97, 1. 2.); c. 128—138 das ende des Themistokles und Pausanias; oder b) zu erweitern: mit VI 54 sq. vgl. Herod. V 55 sq. 62 sq.; mit I 126 sq. Herod. V 72; oder c) zu berichtigen: Thuk. I, 20 vgl. m. Herod. VI 57. IX 53.

Treue darstellung der thatsachen; die motive in den reden: Thuk. I 22 *καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες πολεμήσειν ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν αὐτὸς ἤκουσα καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ ὡς ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών. ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι. καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον*

Digitized by Google

§ 19. τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει. κτῆμά τε ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται. vgl. W. Vischer, das historische in den reden des Thukydides (1839) kl. schr. I 415.

Schilderung der katastrophe in Sicilien. Plut. Nik. 1 ἐπὶ ταῖς διηγήσεσιν αἷς Θ., αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος ἐνεργέστατος ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχεν.

Dionys. π. τ. Θουκυδ. χαρ. 8 p. 824 μαρτυρεῖται δὲ τῷ ἀνδρὶ τάχα μὲν ὑπὸ πάντων φιλοσόφων τε καὶ ῥητόρων, εἰ δὲ μή, τῶν γε πλείστων, ὅτι καὶ τῆς ἀληθείας, ἧς ἱέρειαν εἶναι τὴν ἱστορίαν βουλόμεθα, πλείστην ἐποιήσατο πρόνοιαν οὔτε προστιθεὶς τοῖς πράγμασιν οὐδὲν ὃ μὴ δίκαιον οὔτ' ἀφαιρῶν οὐδὲ ἐνεξουσιάζων τῇ γραφῇ, ἀνέγκλητον δὲ καὶ καθαρὰν τὴν προαίρεσιν ἀπὸ παντὸς φθόνου καὶ πάσης κολακείας φυλάττων, μάλιστα δ' ἐν ταῖς περὶ τῶν ἀγαθῶν ἀνδρῶν γνώμαις.

Einteilung des werkes in acht bücher: Marcell. γ § 57 ἰστέον δὲ ὅτι τὴν πραγματείαν αὐτοῦ οἱ μὲν κατέτεμον εἰς τρεῖς καὶ δέκα ἱστορίας (vgl. schol. zu Thuk. II 79. IV 1. 78. 114), ἄλλοι δὲ ἄλλως· ὅμως δὲ ἡ πλείστη καὶ κοινὴ κεκράτηκε, τὸ μέχρι τῶν ὀκτὼ διηρῆσθαι τὴν πραγματείαν, ὡς καὶ ἐπέκρινεν ὁ Ἀσκληπιάδης. über das VIII b. vgl. Th. Fellner. Forsch. z. AG II. Wien 1880.

Ende des werkes im 21n jahre des kriegs herbst 411 (ol. 92, 2). Diod. XIII 42 (vgl. XII 37) τῶν δὲ συγγραφέων Θουκυδίδης μὲν τὴν ἱστορίαν κατέστρεψε, περιλαβὼν χρόνον ἐτῶν εἴκοσι καὶ δυοῖν ἐν βίβλοις ὀκτὼ (τίνες δὲ διαιροῦσιν εἰς ἐννέα), Ξενοφῶν δὲ καὶ Θεόπομπος ἀφ' ὧν ἀπέλιπε Θουκυδίδης τὴν ἀρχὴν πεποίηνται. Marcell. β § 45 ἀπέθανε δὲ μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν ἐν τῇ Θράκῃ, συγγράφων τὰ πράγματα τοῦ εἰκοστοῦ καὶ πρώτου ἐνιαυτοῦ· κ' γὰρ ζ' κατέσχεν ὁ πόλεμος. τὰ δὲ τῶν ἄλλων ς' ἐτῶν πράγματα ἀναπληροῖ ὅ τε Θεόπομπος καὶ ὁ Ξενοφῶν, οἷς συνάπτει τὴν Ἑλληνικὴν ἱστορίαν. Marcell. β 43 sq. λέγουσι δέ τινες νοθευέσθαι τὴν ὀγδόην ἱστορίαν. οὐ γὰρ εἶναι Θουκυδίδου. ἀλλ' οἱ μέν φασι τῆς θυγατρὸς αὐτοῦ εἶναι, οἱ δὲ Ξενοφῶντος. πρὸς οὓς λέγομεν ὅτι τῆς μὲν θυγατρὸς ὡς οὐκ ἔστι δῆλον· οὐ γὰρ γυναικείας ἦν φύσεως τοιαύτην ἀρετήν τε καὶ τέχνην μιμήσασθαι —. ὅτι δὲ οὐδὲ Ξενοφῶντός ἐστιν, ὁ χαρακτὴρ μονονουχὶ βοᾷ· πολὺ

Digitized by Google

γὰρ τὸ μέσον ἰσχνοῦ χαρακτῆρος καὶ ὑψηλοῦ. οὐ μὴν οὐδὲ Θεοπόμπου, καθά τινες ἠξίωσαν. τίσι δέ; καὶ μᾶλλον τοῖς χαριεστέροις, Θουκυδίδου μὲν εἶναι δοκεῖ, ἄλλως δ' ἀκαλλώπιστος, δι' ἐκτύπων γεγραμμένη καὶ πολλῶν πλήρης ἐν κεφαλαίῳ πραγμάτων καλλωπισθῆναι καὶ λαβεῖν ἔκτασιν δυναμένων. ἔνθεν καὶ λέγομεν ὅτι ἀσθενέστερον πέφρασται . . Diog. L. II 57 Xenophon: λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδου βιβλία λανθάνοντα ὑφελέσθαι δυνάμενος αὐτὸς εἰς δόξαν ἤγαγεν. § 19.

Kratippos verfaszte in unbekannter zeit ein werk zur ergänzung des Thukydides und tadelte dessen reden: Dionys. a. a. o. c. 16 p. 847 ὧν προνοούμενος (Θ.) ἔοικεν ἀτελῆ τὴν ἱστορίαν καταλιπεῖν, ὡς καὶ Κράτιππος ὁ συνακμάσας † αὐτῷ καὶ τὰ παραλειφθέντα ὑπ' αὐτοῦ συναγαγὼν γέγραφεν, οὐ μόνον ταῖς πράξεσιν αὐτὰς (τὰς ῥητορείας) ἐμποδὼν γεγενῆσθαι λέγων, ἀλλὰ καὶ τοῖς ἀκούουσιν ὀχληρὰς εἶναι. τοῦτό γέ τοι συνέντα αὐτὸν ἐν τοῖς τελευταίοις τῆς ἱστορίας φησὶ μηδεμίαν τάξαι ῥητορείαν, πολλῶν μὲν κατὰ τὴν Ἰωνίαν γενομένων, πολλῶν δ' ἐν Ἀθήναις, ὅσα διὰ λόγων καὶ δημηγοριῶν ἐπράχθη. Kratippos' geschichte wird vit. X or. p. 834[a] beim Hermokopidenprocess, Plut. de glor. Ath. 1 p. 345de von begebenheiten nach dem peloponnesischen kriege angeführt. Müller FHG II 75. vgl. Leutsch Philol. XXXIII 97. 127.

§. 20. Ktesias von Knidos.

Fragm. diss. et not. illustrata a Car. Müllero, anh. v. Herod. ed. Guil. Dindorf. Paris, Didot 1858.

Suidas: Κτησίας Κτησιάρχου ἢ Κτησιόχου (Κτησιόχου Lukian. ἀλ. ἱστ. I 3. Io. Tzetz. chil. I 82) Κνίδιος, ἰατρός, ὃς ἰάτρευσεν ἐν Πέρσαις Ἀρταξέρξην τὸν Μνήμονα κληθέντα καὶ συνέγραψε Περσικὰ ἐν βιβλίοις κ' καὶ γ'.

Galen. vol. XVIII 1 p. 731 Kühn — Κτησίας ὁ Κνίδιος συγγενὴς αὐτοῦ (Ἱπποκράτους)· καὶ γὰρ αὐτὸς ἦν Ἀσκληπιάδης τὸ γένος.

Strabo XIV p. 656 Knidos: ἐντεῦθεν δὲ καὶ Κτησίας ὁ ἰατρεύσας μὲν Ἀρταξέρξην, συγγράψας δὲ τὰ Ἀσσυριακὰ καὶ τὰ Περσικά. XI p. 508 ῥᾷον δ' ἄν τις Ἡσιόδῳ καὶ Ὁμήρῳ πιστεύσειεν ἠρωολογοῦσι καὶ τοῖς τραγικοῖς ποιηταῖς ἢ Κτησίᾳ τε καὶ Ἡροδότῳ καὶ Ἑλλανίκῳ καὶ ἄλλοις τοιούτοις.

Photios bibl. 72 p. 35 ἀνεγνώσθη βιβλίον Κτησίου τοῦ Κνιδίου τὰ Περσικά, ἐν βιβλίοις κγ'. ἀλλ' ἐν μὲν τοῖς πρώ-

Digitized by Google

§ 20. τοις ς' τά τε Ἀσσύρια διαλαμβάνει καὶ ὅσα πρὸ τῶν Περσικῶν, ἀπὸ μέντοι τοῦ ζ' τὰ Περσικὰ διεξέρχεται. καὶ ἐν μὲν τῷ ζ' καὶ η' ⟨καὶ θ'⟩ καὶ ι' καὶ ια' καὶ ιβ' καὶ ιγ' διέξεισι τὰ περὶ Κύρου καὶ Καμβύσου καὶ τοῦ μάγου Δαρείου τε καὶ τοῦ Ξέρξου, σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ἡροδότῳ ἱστορῶν, ἀλλὰ καὶ ψεύστην αὐτὸν ἀπελέγχων ἐν πολλοῖς καὶ λογοποιὸν ἀποκαλῶν· καὶ γὰρ νεώτερος μέν ἐστιν αὐτοῦ. φησὶ δὲ αὐτόν τῶν πλειόνων ἃ ἱστορεῖ αὐτόπτην γενόμενον ἢ παρ' αὐτῶν Περσῶν, ἔνθα τὸ ὁρᾶν μὴ ἐνεχώρει, αὐτήκοον καταστάντα, οὕτω τὴν ἱστορίαν συγγράψαι. οὐχ Ἡροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ' ἐνίων διαφωνεῖ. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Κύρου τοῦ ἐκ Δαρείου καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Ἀρταξέρξου, εἰς ὃν ἡ Περσικὴ βασιλεία κατῆλθεν, ἐτύγχανεν. Photios gibt einen auszug aus den Persika (VII—XXIII) und fügt hinzu (p. 45[a]) ἔστι δὲ οὗτος ὁ συγγραφεὺς σαφής τε καὶ ἀφελὴς λίαν, διὸ καὶ ἡδονῇ αὐτῷ σύγκρατός ἐστιν ὁ λόγος. κέχρηται δὲ τῇ Ἰωνικῇ διαλέκτῳ, εἰ καὶ μὴ δι' ὅλου καθάπερ Ἡρόδοτος, ἀλλὰ κατ' ἐνίας τινὰς λέξεις. — ἀνεγνώσθη δὲ αὐτοῦ καὶ τὰ Ἰνδικά, ἐν ἑνὶ βιβλίῳ, ἐν οἷς μᾶλλον ἰωνίζει κτέ. Aristot. hist. an. VIII 28 p. 606[a] ἐν δὲ τῇ Ἰνδικῇ, ὡς φησὶ Κτησίας οὐκ ὢν ἀξιόπιστος, οὔτ' ἄγριος οὔτε ἥμερος ὗς (ἐστίν).

Diodor. II 32 Κτησίας δὲ ὁ Κνίδιος τοῖς μὲν χρόνοις ὑπῆρξε κατὰ τὴν Κύρου στρατείαν ἐπὶ Ἀρταξέρξην τὸν ἀδελφόν, γενόμενος δὲ αἰχμάλωτος, καὶ διὰ τὴν ἰατρικὴν ἐπιστήμην ἀναληφθεὶς ὑπὸ τοῦ βασιλέως, ἑπτακαίδεκα ἔτη διετέλεσε τιμώμενος ὑπ' αὐτοῦ. οὗτος οὖν φησὶν ἐκ τῶν βασιλικῶν διφθερῶν, ἐν αἷς οἱ Πέρσαι τὰς παλαιὰς πράξεις κατά τινα νόμον εἶχον συντεταγμένας, πολυπραγμονῆσαι τὰ καθ' ἕκαστον καὶ συνταξάμενος τὴν ἱστορίαν εἰς τοὺς Ἕλληνας ἐξενεγκεῖν u. a. st. XIV 46. ol. 95, 3. 398 Κτησίας δ' ὁ συγγραφεὺς τὴν τῶν Περσικῶν ἱστορίαν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν, ἀρξάμενος ἀπὸ Νίνου καὶ Σεμιράμεως.

Über die assyrische und medische chronologie des Ktesias s. I. Brandis. rer. Assyr. temp. emendata. Bonn 1853 p. 12 f. 65. de tempor. gr. etc. 1857 p. 24. Gutschmid jhb. 1860 p. 444. Ktesias setzte den untergang des assyrischen reichs 108 jahre vor olymp. 1 (= 884/3, die zeit Lykurgs nach sparta-

Digitized by Google

nischer berechnung); 300 jahre früher in die zeit des troja- § 20.
nischen kriegs (= 1184/3) den 22n könig Teutamos.

Über den letzten abschnitt von Ktesias' geschichte s. Xen. Anab. I 8, 26 s. (*Κῦρος βασιλέα*) *παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρὸς καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησιν. — ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνησκον Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν.*

Plutarch. Artax. 1 *ὁ δ' Ἀρταξέρξης Ἀρσίκας πρότερον ἐκαλεῖτο· καίτοι Δείνων φησίν, ὅτι Ὄαρσης. ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἆλλα μύθων ἀπιθάνων καὶ παραφόρων ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας.* c. 6 Parysatis stellte der Stateira nach dem leben: *ἐπεὶ· δὲ Δείνων μὲν ἐν τῷ πολέμῳ συντελεσθῆναι τὴν ἐπιβουλὴν εἴρηκε, Κτησίας δὲ. ὕστερον, ὃν οὔτε ἀγνοεῖν τὸν χρόνον εἰκός ἐστι παρόντα ταῖς πράξεσιν οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον ὡς ἐπράχθη διηγούμενος, οἷα πάσχει πολλάκις ὁ λόγος αὐτοῦ πρὸς τὸ μυθῶδες καὶ δραματικὸν ἐκτρεπόμενος τῆς ἀληθείας, τοῦτο μὲν ἦν ἐκεῖνος ἀπέδωκε χώραν ἔξει.* c. 13 über verschiedene zahlangaben bei der schlacht von Kunaxa: *ταῦτα μὲν οὖν ἔχει διαμφισβήτησιν· ἐκεῖνο δὲ τοῦ Κτησίου λαμπρὸν ἤδη ψεῦσμα, τὸ πεμφθῆναι φάνια πρὸς τοὺς Ἕλληνας αὐτὸν μετὰ Φαλίνου τοῦ Ζακυθνίου καί τινων ἄλλων. ὁ γὰρ Ξενοφῶν ἠπίστατο συνδιατρίβοντα βασιλεῖ Κτησίαν· μέμνηται γὰρ αὐτοῦ, καὶ τοῖς βιβλίοις τούτοις ἐντετυχηκὼς δῆλός ἐστιν· οὐκ ἂν οὖν ἐλθόντα καὶ λόγων τοσούτων ἑρμηνέα γενόμενον παρῆκεν ἀνώνυμον, Φαλῖνον δὲ τὸν Ζακύνθιον ὠνόμαξεν. ἀλλὰ δαιμονίως ὁ Κτησίας ὡς ἔοικε φιλότιμος ὢν καὶ οὐχ ἧττον φιλολάκων καὶ φιλοκλέαρχος ἀεί τινας ἐν τῇ διηγήσει χώρας ἑαυτῷ δίδωσιν, ἐν αἷς γενόμενος πολλὰ καὶ καλὰ μεμνήσεται Κλεάρχου καὶ τῆς Λακεδαίμονος.* über die abfassungszeit der *Περσικά* vgl. W. Nitsche, üb. d. abfassung von Xenophon's Hellenika 1871 s. 44—46.

§ 21. Damastes von Sige.

Müller FHG II 64. IV 654.

Suidas: *Δαμάστης Σιγεύς, ἀπὸ Σίγης τῆς Τρωάδος, Διωξίππου υἱός, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγ-*

Digitized by Google

§ 21. *χρονος Ἡροδότῳ, τῶν πλουσιωτάτων, ἱστορικός· γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων (Ἡροδότῳ, ἱστορικός· γ. π. τ. ἐ. Ε. γ. πλουσιωτάτων* A. Nauck), *περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιβλία β', ἐθνῶν κατάλογον καὶ πόλεων, περὶ ποιητῶν καὶ σοφιστῶν, καὶ ἄλλα συχνά. γέγονε δὲ Ἑλλανίκου μαθητής.* vgl. *Πῶλος Ἀκραγαντῖνος ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου, ἔγραψε γενεαλογίαν τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων, καὶ πῶς ἕκαστος ἀπήλλαξε. τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι. νεῶν κατάλογον. περὶ λέξεως.*

Dionys. *π. τ. Θουκ. χ.* 5 p. 818 s. o. § 9.

Übereinstimmung von Damastes mit Hellanikos: Dionys. arch. I 72 p. 181. Val. M. VIII 13 ext. 6. Plin. NH. VII 154.

Damastes als geograph: Rufius Festus Avienus or. mar. 42 *quin et Damastes nobili natus Sige.*

Strab. I p. 47 *οὐδὲ τοῦτ' εὖ Ἐρατοσθένης, ὅτι ἀνδρῶν οὐκ ἀξίων μνήμης ἐπὶ πλέον μέμνηται, τὰ μὲν ἐλέγχων τὰ δὲ πιστεύων καὶ μάρτυσι χρώμενος αὐτοῖς, οἷον Δαμάστῃ καὶ τοιούτοις ἄλλοις. καὶ γὰρ εἴ τι λέγουσιν ἀληθές, οὐ μάρτυσί γε ἐκείνοις χρηστέον περὶ αὐτοῦ, οὐδὲ πιστευτέον διὰ τοῦτο· ἀλλ' ἐπὶ τῶν ἀξιολόγων ἀνδρῶν μόνον τῷ τοιούτῳ τρόπῳ χρηστέον, οἳ πολλὰ μὲν εἰρήκασιν εὖ, πολλὰ δὲ καὶ παραλελοίπασιν ἢ οὐχ ἱκανῶς ἐξεῖπον, οὐδὲν δ' ἐψευσμένως. ὁ δὲ Δαμάστῃ χρώμενος μάρτυρι οὐδὲν διαφέρει τοῦ καλοῦντος μάρτυρα τὸν Βεργαῖον Εὐήμερον καὶ τοὺς ἄλλους, οὓς αὐτὸς εἴρηκε διαβάλλων τὴν φλυαρίαν. καὶ τούτου δ' ἕνα τῶν λήρων αὐτὸς λέγει, τὸν μὲν Ἀράβιον κόλπον λίμνην ὑπολαμβάνοντος εἶναι κτέ.* vgl. XIV p. 683 s.

§ 22. Xenophon von Athen.

K. W. Krüger, de Xenophontis vita (1823) i. d. hist.-philol. studien II 262—286. kr. anal. II 42. 1867. Ferd. Ranke, de X. vita et scriptis. Berl. 1851. 4. C. G. Cobet nov. lect. 1858 p. 534. ausg. der werke v. J. Gottlob Schneider. VI voll., zuerst 1790—1815. v. L. Dindorf. Oxford 1853—1866.

Suidas: *Ξενοφῶν Γρύλλου Ἀθηναῖος, φιλόσοφος Σωκρατικός, ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων καὶ ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος, καὶ ἤκμαζε κατὰ τὴν ϙε' ὀλυμπιάδα* (400). *ἔγραψε βιβλία πλείονα τῶν μ', ὧν*

Digitized by Google

καὶ ταῦτα· *Κύρου παιδείας βιβλία η΄, Κύρου ἀναβάσεως* § 22. *βιβλία ζ΄, Ἑλληνικῶν βιβλία ζ΄, συμπόσιον*, καὶ ἄλλα πολλά.

Diogenes Laert. II c. 6 § 48 *Ξενοφῶν Γρύλλου μὲν ἦν υἱός, Ἀθηναῖος, τῶν δήμων Ἐρχιεύς· αἰδήμων δὲ καὶ εὐειδέστατος εἰς ὑπερβολήν. — ἀκροατὴς Σωκράτους ἦν καὶ πρῶτος ὑποσημειωσάμενος τὰ λεγόμενα εἰς ἀνθρώπους ἤγαγεν, ἀπομνημονεύματα ἐπιγράψας. ἀλλὰ καὶ ἱστορίαν φιλοσόφων πρῶτος ἔγραψεν.* § 55 sq. *ἤκμαζε δὲ κατὰ τὸ δ΄ ἔτος τῆς δ΄ καὶ ϛ΄ ὀλυμπιάδος καὶ ἀναβέβηκε σὺν Κύρῳ, ἐπὶ ἄρχοντος Ξεναινέτου* (401), *ἐνὶ πρότερον ἔτει τῆς Σωκράτους τελευτῆς. κατέστρεψε δέ, καθά φησι Στησικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν ἀρχόντων καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ, ἔτει πρώτῳ τῆς ε΄ καὶ ρ΄ ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιμήδους* (360/359), *ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντου Μακεδόνων ἦρξε. τέθνηκε δὲ ἐν Κορίνθῳ, ὥς φησι Δημήτριος ὁ Μάγνης, ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς.*

[Xenophon im attischen heere bei Delion ol. 89, 1. 424? Strab. IX p. 403 *εἶτα Δήλιον τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐκ Δήλου ἀφιδρυμένον — ὅπου μάχῃ λειφθέντες Ἀθηναῖοι προτροπάδην ἔφυγον· ἐν δὲ τῇ φυγῇ πεσόντα ἀφ' ἵππου Ξενοφῶντα ἰδὼν κείμενον τὸν Γρύλλου Σωκράτης ὁ φιλόσοφος στρατεύων πεζός, τοῦ ἵππου γεγονότος ἐκποδών, ἀνέλαβε τοῖς ὤμοις αὐτὸν καὶ ἔσωσεν ἐπὶ πολλοὺς σταδίους ἕως ἐπαύσατο ἡ φυγή.* Diog. L. II 22 (*Σωκράτης*) *Ξενοφῶντα ἀφ' ἵππου πεσόντα ἐν τῇ κατὰ Δήλιον μάχῃ διέσωσεν ὑπολαβών.* Nach Plat. Sympos. 36 p. 220 sq. gab der berittene Alkibiades dem unter den hopliten dienenden Sokrates auf der flucht das geleit (*ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα*). vgl. Plut. Alkib. 7.]

Zeitpunct und ursache von Xenophons verbannung aus Athen: Anab. VII 7, 57. 8, 2. V 3, 6. Dion Chrys. VIII p. 130 M. *Ξενοφῶν δὲ ἔφευγε διὰ τὴν μετὰ Κύρου στρατείαν.* Diog. L. II 51 während X. in Asien bei Agesilaos war *ἐπὶ Λακωνισμῷ φυγὴν ὑπ' Ἀθηναίων κατεγνώσθη.* Wegen seiner teilnahme an der schlacht bei Koroneia (Plut. Ages. 18)? Niebuhr kl. hist. schriften I 467. Grote hist. of Gr. IX 240.

Über Xenophons wohnsitz *ἐν Σκιλλοῦντι ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντος παρὰ τὴν Ὀλυμπίαν* Anab. V 3, 7—13. Paus. V 6, 5 sq. *Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀπο-*

Digitized by Google

§ 22. τεμόμενοι τῆς Ἠλείας Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλου, φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν. ἐδιώχθη δὲ ὁ Ξενοφῶν ὑπὸ Ἀθηναίων ὡς ἐπὶ βασιλέα τῶν Περσῶν σφίσιν εὖνουν ὄντα στρατείας μετασχὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου· καθήμενος γὰρ ἐν Σάρδεσιν ὁ Κῦρος Λυσάνδρῳ τῷ Ἀριστοκρίτου καὶ Λακεδαιμονίοις χρήματα ἀνήλισκεν ἐς τὰς ναῦς. ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο φυγή —. οἱ δὲ Ἠλείων ἐξηγηταὶ κομίσασθαί τε αὖθις Σκιλλοῦντα Ἠλείους ἔλεγον, καὶ Ξενοφῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν, κριθῆναι μὲν ἐν τῇ Ὀλυμπικῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείων συγγνώμης ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. καὶ δὴ καὶ ὀλίγον ἀπωτέρω τοῦ ἱεροῦ μνῆμά τε ἐδείκνυτο καὶ τῆς Πεντέλησίν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ· εἶναι δὲ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προσοικοῦντες. Diog. L. II 52 sq. ἐντεῦθεν ἐάσας τὸν Ἀγησίλαον ἦλθεν εἰς Σκιλλοῦντα χωρίον τῆς Ἠλείας, ὀλίγον τῆς πόλεως ἀπέχον. εἵπετο δὲ αὐτῷ καὶ γύναιον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης, καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ἀποστασίου (Sauppe OA II 338[a]) . . — τοὐντεῦθεν διετέλει κυνηγετῶν καὶ τοὺς φίλους ἑστιῶν καὶ τὰς ἱστορίας συγγράφων. φησὶ δ' ὁ Δείναρχος ὅτι καὶ οἰκίαν καὶ ἀγρὸν αὐτῷ ἔδοσαν Λακεδαιμόνιοι. — Ἠλείους τε (φασὶ) στρατευσαμένους εἰς τὸν Σκιλλοῦντα καὶ βραδυνόντων Λακεδαιμονίων ἐξελεῖν τὸ χωρίον. ὅτε καὶ τοὺς υἱέας αὐτοῦ εἰς Λέπρεον ὑπεξελθεῖν μετ' ὀλίγων οἰκετῶν καὶ αὐτὸν Ξενοφῶντα εἰς τὴν Ἦλιν πρότερον, εἶτα καὶ εἰς Λέπρεον πρὸς τοὺς παῖδας, κἀκεῖθεν σὺν αὐτοῖς εἰς Κόρινθον διασωθῆναι καὶ αὐτόθι κατοικῆσαι. ἐν τούτῳ δὲ ψηφισαμένων Ἀθηναίων βοηθεῖν Λακεδαιμονίοις ἔπεμψε τοὺς παῖδας εἰς τὰς Ἀθήνας στρατευσομένους ὑπὲρ τῶν Λακεδαιμονίων (Schaefer Demosth. u. s. zeit III[2] 10—17). § 56 sq. συνέγραψε δὲ βιβλία πρὸς τὰ μ', ἄλλων ἄλλως διαιρούντων· τήν τε Ἀνάβασιν, ἧς κατὰ βιβλίον μὲν ἐποίησε προοίμιον, ὅλης δὲ οὔ· καὶ Κύρου παιδείαν καὶ Ἑλληνικὰ καὶ ἀπομνημονεύματα· συμπόσιόν τε καὶ οἰκονομικὸν καὶ περὶ ἱππικῆς καὶ κυνηγετικὸν καὶ ἱππαρχικόν, ἀπολογίαν τε Σωκράτους καὶ περὶ πόρων καὶ Ἱέρωνα ἢ τυραννικόν, Ἀγησίλαόν τε καὶ Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείαν, ἣν φησιν οὐκ εἶναι Ξενοφῶντος ὁ Μάγνης Δημήτριος. λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδου βιβλία λανθάνοντα ὑφελέσθαι δυνάμενος

Digitized by Google

αὐτὸς εἰς δόξαν ἤγαγεν. ἐκαλεῖτο δὲ καὶ Ἀττικὴ μοῦσα γλυκύτητι τῆς ἑρμηνείας (Cic. Orat. 19, 62 *Xenophontis voce Musas quasi locutas ferunt*) —. § 58 sq. *εἰ καί σε, Ξενοφῶν, Κραναοῦ Κέκροπός τε πολῖται ‖ φεύγειν κατέγνων τοῦ φίλου χάριν Κύρου, ‖ ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιλῆδῶν ‖ οὕτως ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως. εὗρον δὲ ἀλλαχόθι ἀκμάσαι αὐτὸν περὶ τὴν θ' καὶ π'* [?] *ὀλυμπιάδα* (424) *σὺν τοῖς ἄλλοις Σωκρατικοῖς. καὶ Ἴστρος φησὶν αὐτὸν φυγεῖν κατὰ ψήφισμα Εὐβούλου καὶ κατελθεῖν κατὰ ψήφισμα τοῦ αὐτοῦ.* § 22.

[Lukian.] Makrob. 21 *Ξενοφῶν δὲ ὁ Γρύλλου ὑπὲρ τὰ ἐννενήκοντα ἐβίωσεν ἔτη.*

Euseb. Hier. ol. 95, 1 (400) *Xenofon filius Grylli et Clesias clari habentur.* ol. 95, 2 *Socrates uenenum bibit* (vielmehr 95, 1). ol. 95, 4 *Socratici clari habentur.* ol. 101, 3 (374) *Plato et Xenofon nec non et alii Socratici clari habentur.* vgl. Diod. XV 76 (ol. 103, 3. 366).

Historische schriften Xenophons:

Κύρου ἀνάβασις in sieben büchern. K. W. Krüger, de authentia et integritate Anabaseos Xenophonteae. Berl. 1834. Desselben ausgabe. Halle 1826. u. ö. Karl Koch, der zug der zehntausend nach Xenophon, geographisch erläutert. Leipz. 1850.

Xen. Hell. III 1, 2 *ὡς μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφόν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ Ἕλληνες ἐπὶ θάλατταν, Θεμιστογένει τῷ Συρακοσίῳ γέγραπται* u. dazu die ausleger. Müller FHG II 74 (vgl. A. Schaefer Philol. XVIII 190).

Ἑλληνικά. Niebuhr kl. hist. schr. I 465; gegen N. Ferd. Delbrück, Xenophon. Bonn 1829; Krüger, studien I 244. G. R. Sievers, commentat. hist. de X. Hellenicis. I. Berol. 1833. Car. Peter, comm. crit. de X. Hellenicis. Halle 1837. Emil Müller, de X. hist. graecae parte priore (quae continet l. I et l. II capp. 1—3, s. 10) diss. chronolog. Leipz. 1856. B. Büchsenschütz Philol. XIV 508. 1859. W. Nitsche, üb. d. abfassung von X.'s Hellenika. Berlin 1871.

Die einteilung in sieben bücher rührt nicht von Xenophon her. Über eine andere einteilung s. jhb. 1870 s. 527.

Der anfang fehlt. Die abschnitte von I bis II 3, 10 bilden eine fortsetzung des Thukydides (von ol. 92, 2. herbst 411 bis zum ende des kriegs ol. 94, 1. herbst 404). Der nächste abschnitt, die geschichte der dreissig und die her-

Digitized by Google

§ 22. stellung der demokratie 404/3 schliesst (*Ἀθηναῖοι*) *ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος* (B. II z. e.). Daran reiht sich in mehreren absätzen die fernere geschichte bis zur schlacht bei Mantineia ol. 104, 2. 362. Vorgreifende episode über die ermordung Alexanders von Pherae ca. 359 VI 4, 35—37: *τοιοῦτος δ' ὢν καὶ αὐτὸς αὖ ἀποθνήσκει — τῶν δὲ ταῦτα πραξάντων ἄχρι οὗ ὅδε ὁ λόγος ἐγράφετο Τισίφονος πρεσβύτατος ὢν τῶν ἀδελφῶν τὴν ἀρχὴν εἶχεν.*

Diod. XIII 42 ol. 92, 2 *Ξενοφῶν δὲ καὶ Θεόπομπος ἀφ' ὧν ἀπέλιπε Θουκυδίδης τὴν ἀρχὴν πεποίηνται, καὶ Ξενοφῶν μὲν περιέλαβε χρόνον ἐτῶν μ' καὶ η' . .* XV 89 ol. 104, 2 *τῶν δὲ συγγραφέων Ξ. μὲν ὁ Ἀθηναῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν ἐπὶ τὴν Ἐπαμεινώνδου τελευτήν.*

Über Xenophons geschichtschreibung urteilt Dionys. schr. an Cn. Pomp. 4 p. 777 s. *Ξενοφῶν δὲ καὶ Φίλιστος οἱ τούτοις* (*Ἡροδότῳ καὶ Θουκυδίδῃ*) *ἐπακμάσαντες οὔτε φύσεις ὁμοίας εἶχον οὔτε προαιρέσεις. Ξενοφῶν μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ' ἀμφοτέρους τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλυσόφῳ προσηκούσας, τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ εὐδαίμονος, καὶ τὴν ἀνάβασιν τοῦ νεωτέρου Κύρου, ᾧ καὶ αὐτὸς συνανέβη, μέγιστον ἐγκώμιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων, καὶ τρίτην ἔτι τὴν Ἑλληνικὴν ἱστορίαν [καὶ] ἣν κατέλιπεν ἀτελῆ Θουκυδίδης, ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις ἀνίσταται. οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι [ζηλωτὴς Ἡροδότου γενόμενος], ἀλλὰ καὶ τῆς οἰκονομίας. ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρεπωδεστάταις κέχρηται καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιτηδειοτάτας ἀποδέδωκε, μεμέρικέ τε καλῶς καὶ τέταχε καὶ πεποίκιλκε τὴν γραφήν. ἦθός τ' ἐπιδείκνυται θεοσεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπετές, ἁπάσαις τε συλλήβδην κεκοσμημένον ἀρεταῖς. καὶ ὁ μὲν πραγματικὸς τύπος αὐτῷ τοιοῦτος. ὁ δὲ λεκτικὸς πῇ μὲν ὅμοιος Ἡροδότου, πῇ δ' ἐνδεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς καὶ σαφὴς ⟨καὶ ἐναργής⟩, καθάπερ ἐκεῖνος, ἐκλέγει δ' ὀνόματα συνήθη τε καὶ προσφυῆ τοῖς πράγμασι*

Digitized by Google

καὶ συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως, οὐχ § 22.
ἧττον Ἡροδότου. ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρόδοτος ἔχει· οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ κἂν ποτε διεγεῖραι βουληθῇ τὴν φράσιν, ὀλίγον ἐμπνεύσας, ὥσπερ ἀπόγειος αὖρα ταχέως σβέννυται. * μακρότερος γὰρ γίνεται τοῦ δέοντος ἐν πολλοῖς, καὶ τοῦ πρέποντος οὐχ ὡς Ἡρόδοτος ἐφάπτεται τοῖς προσώποις εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγωρός ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ. vgl. vet. scr. cens. 3, 2 p. 426. Cic. de orat. II 14, 58 *denique etiam a philosophia profectus princeps Xenophon Socraticus ille, post ab Aristotele Callisthenes comes Alexandri scripsit historiam, et hic quidem rhetorico paene more; ille autem superior leniore quodam sono est usus et qui illum impetum oratoris non habeat, vehemens fortasse minus, sed aliquanto tamen est, ut mihi quidem videtur, dulcior.*

[*Ἀγησίλαος*, zuerst von Valckenaer für untergeschoben erklärt: die echtheit der lobschrift vertheidigte K. Gust. Heiland in s. ausg. Leipz. 1841. Fr. Blass, gesch. d. att. beredsamkeit. II 455. 1874; vgl. Gust. Sauppe Xenoph. opera. Leipz. 1866. V 155. s. dagegen Ed. Cauer, quaest. de font. ad Ages. historiam pertinent. I. Bresl. 1847. Ferd. Ranke de vit. X. p. 19. Herm. Hagen, de Xenophonteo qui fertur Agesilao. Bern 1865.]

Λακεδαιμονίων πολιτεία (em. et ill. Fr. Haase. Berl. 1833): von Demetrios aus Magnesia Xenophon abgesprochen.

Über die *Ἀθηναίων πολιτεία* s. § 25 s. 46.

Πόροι, verfaszt ol. 106, 1. 355. J. G. Schneider VI p. 137 s. 151. Böckh. sth. I 777. Schaefer Dem. u. s. z. I 171. Cobet NL 755. Xenophon abgesprochen von W. Oncken (Isokrates u. Athen 1862 s. 96—100) und Herm. Hagen (Eos II 149 ff.), der die abfassung in ol. 108, 2. 346 setzt. s. dagegen die abhandlungen von Th. Gleiniger. Hall. 1874 und Herm. Zurborg. Berl. 1874. ausg. v. Zurborg Berl. 1876.

Hubert Beckhaus, Xenophon der jüngere und Isokrates. Posen 1872 und Zeitschr. f. Gymnasialw. 1872 s. 225 schreibt den Agesilaos, die *Λακεδαιμονίων πολιτεία*, *περὶ πόρων* u. a. dem enkel Xenophons gl. n. zu.

§. 23. Philistos von Syrakus.

Müller FHG. I XLV. 185. IV, 624; vgl. 477.

Suidas vermengt mit dem Syrakusier Philistos Philiskos

Digitized by Google

§ 23. von Milet, schüler von Isokrates, und den jüngern Philistos von Naukratis:

Φιλίσκος ἢ Φίλιστος Συρακούσιος, ἱστορικός. ἦν δὲ συγγενὴς Διονυσίου τοῦ τυράννου Σικελίας καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐτελεύτησε. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικὰ (ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως) καὶ γενεαλογίαν, περὶ Φτιώτης, καὶ ἄλλα τινὰ περὶ τῆς νήσου Σικελίας.

Φίλιστος Ναυκρατίτης ἢ Συρακούσιος, Ἀρχωνίδου υἱός (Φ. ὁ Ἀρχομενίδου Paus. V 23, 6). *μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ὃς πρῶτος κατὰ τὴν ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ τέχνην ῥητορικήν, Αἰγυπτιακὰ ἐν βιβλίοις ιβ΄, Σικελικὰ ἐν βιβλίοις ια΄, πρὸς τὸν τρικάρανον λόγον, περὶ Ναυκράτεως, περὶ Διονυσίου τοῦ τυράννου βιβλία ϛ΄, περὶ τῆς Λιγυπτίων θεολογίας βιβλία γ΄, δημηγορίας καὶ ἄλλα τινά. περὶ Λιβύης καὶ Συρίας.*

Diod. XIII 103. ol. 93, 3. 406. *τῶν δὲ συγγραφέων Φίλιστος τὴν πρώτην σύνταξιν τῶν Σικελικῶν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν, εἰς τὴν Ἀκράγαντος ἅλωσιν, ἐν βίβλοις ἑπτὰ διελθὼν χρόνον ἐτῶν πλείω τῶν ὀκτακοσίων· τῆς δὲ δευτέρας συντάξεως τὴν μὲν ἀρχὴν ἀπὸ τῆς προτέρας τελευτῆς πεποίηται, γέγραφε δὲ βίβλους τέσσαρας.* XI 89. ol. 104, 2. 363/2. *Φίλιστος δὲ τὰ περὶ Διονύσιον τὸν νεώτερον ὧδε κατέστροφε, διελθὼν ἔτη πέντε ἐν βίβλοις δυσίν.*

Dionys. schr. an Cn. Pompeius 5 p. 779—782 (vgl. o. § 22 s. 38) *Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον ἂν δόξειεν ἐοικέναι καὶ κατ' ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα.* ** *οὔτε γὰρ ὑπόθεσιν εἵληφε πολυωφελῆ καὶ κοινήν, [ὥσπερ οὐδὲ Θουκυδίδης,] ἀλλ' ἰδίαν καὶ ταύτην τοπικήν· διῄρηκε δ' αὐτὴν εἰς γραφὰς δύο, 'περὶ Σικελίας' μὲν τὴν προτέραν ἐπιγράφων, 'περὶ Διονυσίου' δὲ τὴν ὑστέραν. ἔστι δὲ μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ τέλους τῆς Σικελικῆς. τάξιν δ' οὐ τὴν κρατίστην ἀποδέδωκε τοῖς δηλουμένοις, ἀλλὰ δυσπαρακολούθητον, χεῖρον τῆς Θουκυδίδου. καὶ πράγματ' ἔξωθεν οὐ βούλεται παραλαμβάνειν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ' ἔστιν ὁμοειδής. ἦθος δὲ κολακικὸν καὶ φιλοτύραννον ἐμφαίνει καὶ ταπεινὸν καὶ μικρολόγον. τῆς δὲ λέξεως ᾗ Θουκυδίδης κέχρηται τὸ μὲν σημειῶδες καὶ περίεργον πέφευγε, τὸ δὲ στρογγύλον καὶ πυκνὸν καὶ ἐνθυμηματικὸν ἀπομέμακται. τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου*

Digitized by Google

τῶν ἐνθυμημάτων παρὰ πολὺ ὑστερεῖ· οὐ μόνον δὲ τούτοις, § 23.
ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς. ἡ μὲν γὰρ πλήρης σχημάτων, ἡ δὲ Φιλίστου φράσις ὁμοειδὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι, καὶ πολλὰς εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ' αὐτοῦ σχηματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σικελίας· "Συρακούσιοι δὲ παραλαβόντες Μεγαρεῖς καὶ Ἐνναίους — Καμαριναίοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους συμμάχους, πλὴν Γελῴων, ἀθροίσαντες — Γελῷοι δὲ Συρακουσίους οὐκ ἔφασαν πολεμήσειν — Συρακούσιοι δὲ πυνθανόμενοι Καμαριναίους τὸν Ὑρμινὸν διαβάντας". ταῦτα δ' ἀηδῆ πάνυ ὄντ' ἐμοὶ φαίνεται. μικρός τε περὶ πᾶσαν ἰδέαν ἐστὶ καὶ εὐτελής, ἐάν τε πολιορκίας διηγῆται ἐάν τ' οἰκισμοὺς ἐάν τ' ἐπαίνους ἐάν τε ψόγους διαπορεύηται· ἀλλ' οὐδὲ τοῖς μεγέθεσι τῶν ἀνδρῶν συνεξισῶν τοὺς λόγους, ἀλλὰ ψοφώδεις τοὺς δημηγοροῦντας καὶ λειπομένους τῆς δυνάμεως καὶ τῆς προαιρέσεως ὁμοίως ἅπαντας ποιεῖ. εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμηνείαν, καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου, πρὸς δὲ (πρός τε?) τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου. vgl. vet. scr. cens. III 2 p. 426 ss.

Über die herkunft der ältesten einwohner der insel, der Sikaner, aus Iberien, sagte Philistos dasselbe was Thukyd. VI 2, 2 (und so Ephoros b. Strab. VI 270). Fr. 3 b. Diod. V 6 *Φίλιστος μὲν γάρ φησιν ἐξ Ἰβηρίας αὐτοὺς (τοὺς Σικανοὺς) ἀποικισθέντας κατοικῆσαι τὴν νῆσον, ἀπό τινος Σικανοῦ ποταμοῦ κατ' Ἰβηρίαν ὄντος τετευχότας ταύτης τῆς προσηγορίας, Τίμαιος δὲ τὴν ἄγνοιαν τούτου τοῦ συγγραφέως ἐλέγξας ἀκριβῶς ἀποφαίνεται τούτους αὐτοχθόνας εἶναι.* Von der einwanderung der Sikeler aus Italien fr. 2 bei Dion. arch. I 22 p. 58 *ὡς δὲ Φίλιστος ὁ Συρακούσιος ἔγραψε, χρόνος μὲν τῆς διαβάσεως ἦν ἔτος ὀγδοηκοστὸν πρὸ τοῦ Τρωικοῦ πολέμου.*

Euseb. a. Abr. 803 (32 j. vor der einnahme Trojas) *Καρχηδόνα φησὶ Φίλιστος κτισθῆναι ὑπὸ Ἄξώρου καὶ Καρχηδόνος τῶν Τυρίων κατὰ τοῦτον τὸν χρόνον.* vgl. v. Gutschmid jhb. 1880 s. 294—297.

Theon. progymn. 1 p. 154 W. *ὁ Φίλιστος τὸν Ἀττικὸν ὅλον πόλεμον ἐν τοῖς Σικελικοῖς ἐκ τῶν Θουκυδίδου μετενήνοχεν.*

Plutarch. Nikias 19 *κἀκείνου (τοῦ Γυλίππου) τὸ πᾶν*

Digitized by Google

§ 23. ἔργον γεγονέναι φησὶν οὐ Θουκυδίδης μόνον ἀλλὰ καὶ Φίλιστος, ἀνὴρ Συρακούσιος καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. vgl. c. 28.

Diod. XIII 91. ol. 93, 3. 406. τῶν δ' ἀρχόντων ξημιούντων τὸν Διονύσιον κατὰ τοὺς νόμους ὡς θορυβοῦντα Φίλιστος ὁ τὰς ἱστορίας ὕστερον συγγράψας, οὐσίαν ἔχων μεγάλην, ἐξέτισε τὰ πρόστιμα, καὶ τῷ Διονυσίῳ παρεκελεύετο λέγειν ὅσα προῄρητο· καὶ προσέτι εἰπόντος ὅτι καθ' ὅλην τὴν ἡμέραν, ἂν ξημιοῦν ἐθέλωσιν, ἐκτίσει τάργύριον ὑπὲρ αὐτοῦ, τὸ λοιπὸν θαρρήσας ⟨Διονύσιος⟩ ἀνέσειε τὰ πλήθη, καὶ τὴν ἐκκλησίαν συνταράττων διέβαλλε τοὺς στρατηγούς, ὅτι χρήμασι πεισθέντες ἐγκατέλιπον τὴν τῶν Ἀκραγαντίνων σωτηρίαν.

Um ol. 98, 3. 386 ward Philistos nebst seinem schwiegervater Leptines, dem bruder des tyrannen, verbannt. Philistos begab sich nach Thurii (Diod. XV 7) und von dort nach Hatria im Paduslande. In der verbannung schrieb er einen groszen teil seiner geschichte. Plutarch. v. d. verbannung 14 p. 605ᶜ Φίλιστος (συνέγραψεν) ἐν Ἠπείρῳ. Timol. 15 ὥστε μοι — τὰς Φιλίστου φωνάς, ἃς ἀφίησι περὶ τῶν Λεπτίνου θυγατέρων ὀλοφυρόμενος, ὡς ἐκ μεγάλων ἀγαθῶν τῶν τῆς τυραννίδος εἰς ταπεινὴν ἀφιγμένων δίαιταν, φαίνεσθαι θρήνους γυναικὸς ἀλαβάστρους καὶ πορφύρας καὶ χρυσία ποθούσης. Paus. I 13, 9 εἰ δὲ καὶ Φίλιστος αἰτίαν δικαίαν εἴληφεν ἐπελπίζων τὴν ἐς Συρακούσας κάθοδον ἀποκρύψασθαι τῶν Διονυσίου τὰ ἀνοσιώτατα, ἦ που πολλή γε Ἱερωνύμῳ συγγνώμη τὰ ἐς ἡδονὴν Ἀντιγόνου γράφειν.

Theon progymn. 2 p. 163 πολλὰ δὲ καὶ ἐκπέφρασται παρὰ τοῖς παλαιοῖς, ὥσπερ — καὶ παρὰ Φιλίστῳ ἐν μὲν τῇ η' τὰ περὶ τὴν παρασκευὴν τὴν ἐπὶ Καρχηδονίους Διονυσίου τοῦ τυράννου καὶ τῶν ὅπλων καὶ τῶν νεῶν καὶ τῶν ὀργάνων τὴν ποίησιν (Diod. XIV 41—44. ol. 95, 2. 399), ἐν δὲ τῇ ια' τὰ περὶ τὴν ἐκφορὰν αὐτοῦ καὶ τῆς πυρᾶς τὴν ποικιλίαν. Plut. Pelop. 34 ἐκείνων δὲ τῶν ταφῶν οὐ δοκοῦσιν ἕτεραι λαμπρότεραι γενέσθαι τοῖς τὸ λαμπρὸν οὐκ ἐν ἐλέφαντι καὶ χρυσῷ καὶ πορφύραις εἶναι νομίζουσιν, ὥσπερ Φίλιστος ὑμνῶν καὶ θαυμάζων τὴν Διονυσίου ταφήν, οἷον τραγῳδίας μεγάλης τῆς τυραννίδος ἐξόδιον θεατρικὸν γενομένην.

Dionysios II rief Philistos zurück: Plutarch. Dion 11

Digitized by Google

οἱ δὲ τῷ Διώνι πολεμοῦντες φοβούμενοι τὴν τοῦ Διονυσίου § 23.
μεταβολὴν ἔπεισαν αὐτὸν ἀπὸ τῆς φυγῆς μεταπέμπεσθαι Φίλιστον, ἄνδρα καὶ πεπαιδευμένον περὶ λόγους καὶ τυραννικῶν ἠθῶν ἐμπειρότατον, ὡς ἀντίταγμα πρὸς Πλάτωνα καὶ φιλοσοφίαν ἐκεῖνον ἕξοντες. ὁ γὰρ δὴ Φίλιστος ἐξ ἀρχῆς τε τῇ τυραννίδι καθισταμένῃ προθυμότατον ἑαυτὸν παρέσχεν καὶ τὴν ἄκραν διεφύλαξε φρουραρχῶν ἐπὶ πολὺν χρόνον —. ἐπεὶ δὲ Λεπτίνης — γενομένων αὐτῷ δυεῖν θυγατέρων τὴν ἑτέραν ἔδωκε Φιλίστῳ μηδὲ φράσας πρὸς Διονύσιον, ὀργισθεὶς ἐκεῖνος — τὸν — Φίλιστον ἐξήλασε Σικελίας φυγόντα παρὰ ξένους τινὰς εἰς τὸν Ἀδρίαν, ὅπου καὶ δοκεῖ τὰ πλεῖστα συνθεῖναι τῆς ἱστορίας σχολάζων. οὐ γὰρ ἐπανῆλθε τοῦ πρεσβυτέρου ζῶντος, ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτήν, ὥσπερ εἴρηται, κατήγαγεν αὐτὸν ὁ πρὸς Διώνα τῶν ἄλλων φθόνος, ὡς αὐτοῖς τε μᾶλλον ἐπιτήδειον ὄντα καὶ τῇ τυραννίδι βεβαιότερον.

Corn. Nep. Dion 3, 2 *eodemque tempore* (mit Platons berufung) *Philistum historicum Syracusas reduxit, hominem amicum non magis tyranno quam tyrannis. sed de hoc in eo libro plura sunt exposita qui de historicis Graecis compositus est.*

Philistos fand ol. 105, 4. 357/6 in einem seegefecht mit Dions anhängern den tod. Diod. XVI 16 (ol. 106, 1) erzählt nach Ephoros: *οἱ μὲν Συρακόσιοι πανταχόθεν κυκλώσαντες τὰς ναῦς ἐφιλοτιμοῦντο ζωγρίᾳ λαβεῖν τὸν στρατηγόν, ὁ δὲ Φίλιστος εὐλαβηθεὶς τὴν ἐκ τῆς αἰχμαλωσίας αἰκίαν ἑαυτὸν ἀπέσφαξε, πλείστας μὲν καὶ μεγίστας χρείας παρεσχημένος τοῖς τυράννοις, πιστότατος δὲ τῶν φίλων τοῖς δυνάσταις γεγονώς. οἱ δὲ Συρακόσιοι νικήσαντες τῇ ναυμαχίᾳ τὸ μὲν σῶμα τοῦ Φιλίστου διαμερίσαντες καὶ δι' ὅλης τῆς πόλεως ἑλκύσαντες ἄταφον ἐξέρριψαν. Διονύσιος δὲ τὸν μὲν πρακτικώτατον τῶν φίλων ἀποβαλὼν — ἐξέπεμψε πρεσβευτὰς πρὸς τὸν Δίωνα.* Plut. Dion 35 s. *Ἔφορος μὲν οὖν φησίν, ὡς ἁλισκομένης τῆς νεὼς (Φίλιστος) ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης τὸν Φίλιστον —. ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος κτέ. — ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπέπλατται τῶν κατ' αὐτοῦ βλασφημιῶν. — οὐ μὴν οὐδ' Ἔφορος*

Digitized by Google

§ 23. *ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβαλεῖν καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν καὶ πλούτους καὶ γάμους τοὺς τῶν τυράννων. ἀλλὰ γὰρ Φιλίστου ὁ μήτε τὰς πράξεις ἐπαινῶν μήτε τὰς τύχας ὀνειδίζων ἐμμελέστατος.*

Cic. de divin. I 20, 39 *ut scriptum apud Philistum est, et doctum hominem et diligentem et aequalem temporum illorum.* de orat. II 13, 57 *hunc (Thucydidem) consecutus est Syracusius Philistus qui, cum Dionysii tyranni familiarissimus esset, otium suum consumpsit in historia scribenda maximeque Thucydidem est, sicut mihi videtur, imitatus.* Brut. 17, 66 *amatores huic (Catoni) desunt, sicuti multis iam ante saeclis et Philisto Syracusio et ipso Thucydidi. nam ut horum concisis sententiis, interdum etiam non satis apertis cum brevitate tum nimio acumine, officit Theopompus elatione atque altitudine orationis suae* sqq. ad Qu. fratr. II 11 (13), 4 *Siculus ille (Philistus) capitalis creber acutus brevis, paene pusillus Thucydides; sed utros eius habueris libros (duo enim sunt corpora) an utrosque nescio. me magis de Dionysio delectat. ipse est enim veterator magnus et perfamiliaris Philisto.*

Quint. X 1, 74 *Philistus quoque meretur qui turbae quamvis bonorum post eos (Thucydidem Herodotum Theopompum) auctorum eximatur, imitator Thucydidis et ut multo infirmior ita aliquatenus lucidior.*

Die fortsetzung der geschichte des Philistos von Athanis § 43.

§ 24. Der angebliche Skylax von Karyanda.

K. Müller geogr. gr. min. I XXXIII. 1—96. Niebuhr, üb. d. alter des küstenbeschreibers Skylax (1810) kl. hist. schriften I 105. Letronne, fragmens des poëmes géogr. de Scymnus. Paris 1830 p. 165. GF. Unger Philol. XXXIII 29.

Skylax von Karyanda bereiste im auftrage des königs Darius Hystaspis die Indusgegenden und gab seinen reisebericht heraus. vgl. Gutschmid Rh. mus. IX 141. den namen dieses berühmten geographen trägt ein *περίπλους τῆς οἰκουμένης*, welcher ol. 105 (360—356) verfaszt, lückenhaft und interpoliert auf uns gekommen ist.

Digitized by Google

2. Hilfszeugnisse aus der gleichzeitigen litteratur. § 25.

§ 25. Dichter und philosophen.

Sophokles † 406. Euripides geboren 480, † am hofe des königs Archelaos von Makedonien 406, brachte seit ol. 81, 1. 455 tragödien auf die bühne. ol. 87, 1. 431 gewann er mit der Medea den dritten preis.

Die komödie ward durch Kratinos († um 423), Eupolis und Aristophanes zur höchsten blüte und politischen bedeutung ausgebildet. Horat. Sat. I 4, 1 *Eupolis atque Cratinus Aristophanesque poetae ‖ atque alii quorum comoedia prisca virorum est, ‖ siquis erat dignus describi, quod malus ac fur, ‖ quod moechus foret aut sicarius aut alioqui ‖ famosus, multa cum libertate notabant.* ein verbot τοῦ μὴ κωμῳδεῖν ἐξ ὀνόματος ward ol. 85, 1. 440 erlassen, ol. 85, 4. 437 wieder aufgehoben, ol. 91, 1. 416 auf Alkibiades' betrieb erneuert.

Fragmenta comicorum Graecorum collegit et disposuit Aug. Meineke. voll. V. Berl. 1839—57. ed. Th. Kock. vol. I. Leipz. 1880. W. Vischer, üb. d. benutzung der alten komödie als geschichtl. quelle (1840). kl. schr. I 459. Herm. Müller-Strübing, Aristophanes u. d. hist. kritik. Leipz. 1873. O. Keck, qu. Aristoph. historicae. Halle 1876. J. Muhl, z. gesch. d. alten att. komödie. Augsb. 1881.

Aristophanes, geboren 452 † ca. 388, brachte seine ersten stücke (seit 427) durch seine chormeister Kallistratos und Philonides zur aufführung. erhalten sind: Ἀχαρνῆς ol. 88, 3. 425, Ἱππῆς ol. 88, 4. 424, Νεφέλαι ol. 89, 1. 423, Σφῆκες ol. 89, 2. 422, Εἰρήνη ol. 89, 3. 421, Ὄρνιθες ol. 91, 2. 414, Λυσιστράτη u. Θεσμοφοριάζουσαι ol. 92, 1. 411, Βάτραχοι ol. 93, 3. 405, Ἐκκλησιάζουσαι ol. 97, 3. 389?, Πλοῦτος ol. 97, 4. 388. überreste aus den commentaren der Alexandriner enthalten die scholien.

Mit dem wegfall des chors und der parabase änderte sich das wesen der komödie. die neue komödie hatte, mit der älteren verglichen, für das staatsleben geringe bedeutung.

Ion von Chios. Müller FHG II 44. Ern. Köpke, de Ionis Chii poetae vita. Berl. 1836. de hypomnematis graecis II. Brandenb. 1863. 4. p. 2—9. Ad. Kirchhoff Hermes V 58.

Ion verfaszte lyrische gedichte und tragödien und in prosa (ca. 440) Ἐπιδημίαι, erinnerungen von seinem aufenthalte in Athen, Sparta u. a., welche Plutarch im leben des Kimon und Perikles benutzt hat. Ion † vor 421.

Digitized by Google

§ 25. Die griechische litteratur ward bedingt durch die entwickelung der sophistik, deren hauptvertreter Protagoras von Abdera, Gorgias von Leontini, Prodikos von Keos längere oder kürzere zeit zu Athen lehrten.

Gorgias (geb. ol. 71, 1 † 98, 1, 496—388) kam ol. 88, 2. 427 als gesandter seiner vaterstadt nach Athen. in seinen prunkreden, z. b. dem *Ὀλυμπικός*, ermahnte er die Griechen zum nationalkriege gegen die barbaren. Philostratos leb. d. sophisten I 9 p. 493.

Stesimbrotos von Thasos (Müller FHG II 52) lebte in der Perikleischen zeit zu Athen und gab sich mit allegorischer mythendeutung ab. eine ihm beigelegte schrift *περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους* Athen. XIII p. 580e hat Konr. Bursian centralbl. 1860 s. 620 für untergeschoben erklärt. ihre echtheit vertritt U. v. Wilamowitz Hermes XI 361. Ad. Schmidt, das Perikl. ZA. Jena 1877/79. I 183—278 und II s. 1 ff. erkennt in Stesimbrotos eine hauptquelle der geschichte seiner zeit.

ΑΘΗΝΑΙΩΝ ΠΟΛΙΤΕΙΑ unter Xenophons schriften. W. Roscher Thukydides s. 248—252, 526—539. Aug. Platen, de auctore libri Xenophontei qui est de rep. Ath. Bresl. 1843. Böckh sth. I 433e. Wolfg. Helbig Rh. mus. XVI 511. W. Herbst, der abfall Mytilenes von Athen. Köln 1861. s. 18. W. Roths leb. u. erstlingsschriften. Gött. 1862. s. 1—64. abh. v. Ad. Kirchhoff. Berl. ak. 1874 s. 1. 1878 s. 1; text Berl. (1874) 1881. C. Wachsmuth. Gött. 1874. Müller-Strübing Philol. suppl. IIII 1880.

Die schrift ist ein sendschreiben eines Atheners von der oligarchischen partei an einen Lakedämonier, während des peloponnesischen kriegs, spätestens zu anfang von ol. 91, 4. sommer 413 abgefaszt. als verfasser vermuteten W. Wachsmuth (hell. altertumsk. II 1, 441. 1829) Platen Böckh Kritias (vgl. die fragmente von dessen elegien Bergk poet. lyr. Gr. p. 602, von tragödien Nauck tragic. Gr. fr. p. 597—601; von *πολιτεῖαι* in prosa FHG II 68), Müller-Strübing Phrynichos.

Platons theorie des staates: *Πολιτεία* 16 bb. *Νόμοι* 12 bb.

Die Platon beigelegten briefe sind unecht; s. Herm. Th. Karsten, de Platonis quae feruntur epistolis. Utrecht. 1864. H. Sauppe Gött. gel. anz. 1866 s. 881.

Digitized by Google

Über die brieflitteratur überhaupt s. Rich. Bentley's dissertation upon the epistles of Phalaris, Themistocles, Socrates, and the fables of Aesop. London 1697. dissertation upon the epistles of Phalaris with an answer to the objections of the Hon. Carl. Boyle. 1699 (Bentley's works ed. by Alex. Dyce. London 1836. I. II. latein. v. Lennep. Groning. 1777. deutsch v. Wold. Ribbeck. Leipz. 1857). Ant. Westermann, de epistol. scriptoribus Graecis comm. partes VIII. Leipz. 1851—55. 4. ausg. d. epistolographi Graeci v. Rud. Hercher. Paris 1873. § 25.

§ 26. Redner.

Dionysios von Halikarnass *περὶ τῶν ἀρχαίων ῥητόρων ὑπομνηματισμοί* (*Λυσίας. Ἰσοκράτης. Ἰσαῖος*) V p. 445—629 R. *Βίοι τῶν δέκα ῥητόρων* unter Plutarchs schriften (Moralia p. 832—852); von Photios überarbeitet bibl. cod. 259—268. vgl. A. Schaefer, commentatio de libro vitarum decem oratorum. Dresd. 1844. zeitschr. f. d. altertumswiss. s. 244—267. biographien bei den scholiasten gesammelt in Westermanns *Βιογρ.* l. VI.

Fragmenta oratorum Atticorum collegit, disposuit, adnotavit Herm. Sauppius: Oratores Attici. Zürich 1850. 4. II 127—355. Fr. Blass, die attische beredsamkeit. 3 abteil. in 4 bdn. Leipz. 1868—80.

Anaxim. rhet. c. 1 (I 174 Sp.) *δύο γένη τῶν πολιτικῶν εἰσὶ λόγων, τὸ μὲν δημηγορικὸν τὸ δὲ δικανικόν.* Aristoteles (Rhet. I 3 p. 1358^{b}, 7) unterscheidet *τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικὸν δικανικὸν ἐπιδεικτικόν.* Vgl. Leonh. Spengel *συναγωγὴ τεχνῶν* s. 183 ff.

Antiphon, mitglied der 400, hingerichtet ol. 92, 2. 411 (von ihm erhalten *λόγοι φονικοί*).

Andokides, in den Hermokopidenprocess verwickelt. reden *περὶ τῆς ἑαυτοῦ καθόδου* ol. 93, 2. 407. *περὶ τῶν μυστηρίων* ol. 95, 1. 400. *περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης* ol. 97, 1. 392. untergeschoben die rede *κατὰ Ἀλκιβιάδου.*

Lysias, sohn des Syrakusiers Kephalos, zu Athen geboren, hielt ol. 94, 2. 403 die (12e) rede *κατὰ Ἐρατοσθένους τοῦ γενομένου τῶν τριάκοντα* und verfaszte seitdem processreden für andere (als *λογογράφος*). für die zeitgeschichte sind lehrreich u. a. 34. fragment der rede *περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι* (403). 25. *δήμου καταλύσεως ἀπολογία* (aus derselben zeit). 13. *κατὰ Ἀγοράτου* (nach 400). 30. *κατὰ Νικομάχου* (399). 26. *περὶ τῆς Εὐάνδρου δοκιμασίας* (399). 16. *ἐν βουλῇ Μαντιθέῳ δοκιμαζομένῳ ἀπολογία* (ca. 393). 28. *κατὰ Ἐργοκλέους ἐπίλογος* und 29. *κατὰ Φιλοκλέους ἐπίλογος* (389). 19. *ὑπὲρ τῶν*

Digitized by Google

§ 26. *Ἀριστοφάνους χρημάτων πρὸς τὸ δημόσιον* (387). 33. fragment des *Ὀλυμπιακός* (ol. 98, 1. 388). die grabrede für die im korinthischen kriege gefallenen (2. *ἐπιτάφιος τοῖς Κορινθίων βοηθοῖς*) ist wahrscheinlich untergeschoben.

Isokrates, geboren 436 † 338, bildete sich nach Gorgias und wirkte als lehrer der redekunst und als schriftsteller durch *λόγοι ἐπιδεικτικοί* und *συμβουλευτικοί*. den kyprischen fürsten gewidmet: 2. *πρὸς Νικοκλέα*. 3. *Νικοκλῆς ἢ Κύπριοι*. 9. *Εὐαγόρας*.

4. *Πανηγυρικός* 380. 14. *Πλαταϊκός* 373. 6. *Ἀρχίδαμος* 365. 7. *Ἀρεοπαγιτικός* ca. 355. 8. *περὶ εἰρήνης ἢ συμμαχικός* 355. 15. *περὶ ἀντιδόσεως* 353.

5. *Φίλιππος* 346. 12. *Παναθηναϊκός* 339.

Briefe von Isokrates (echt 1—9).

§ 27. Schriftsteller über das kriegswesen.

Aeneas der taktiker (um 350).

Köchly und Rüstow griech. kriegsschriftsteller t. I. Leipzig 1853. Aeneae comment. poliorceticus. Rud. Hercher recens. Berl. 1870. Arn. Hug. Leipz. 1874. Ders. Aeneas v. Stymphalos. Zürich 1877.

Suidas: *Αἰνείας. οὗτος ἔγραψε περὶ πυρσῶν, ὥς φησι Πολύβιος* (X 44 *Αἰνείας — ὁ τὰ περὶ τῶν στρατηγικῶν συντεταγμένος*), *καὶ περὶ στρατηγημάτων ὑπόμνημα.* erhalten ist davon das *ὑπόμνημα περὶ τοῦ πῶς χρὴ πολιορκουμένους ἀντέχειν.* vgl. Aelian. tact. I 1.

III. Die zeiten der makedonischen herschaft.

1. Geschichtschreiber.

§ 28. Ephoros von Kyme.

Müller FHG I LVII. 234. fragmenta coll. Meier Marx. Karlsr. 1815. Ed. Cauer, de fontib. ad Agesilai historiam pertinentibus. I. Bresl. 1847. Io. Ad. Klügmann. Gött. 1860. Ch. Matthiessen, jhb. f. phil. suppl. III 877. Niebuhr vorles. üb. AG. II 409 f. Blass att. bereds. II 396.

Suidas: *Ἔφορος Κυμαῖος, υἱὸς Δημοφίλου* (*οἱ δὲ Ἀντιόχου*) *Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος, ἱστορικός· ἔσχε δὲ υἱὸν Δημόφιλον τὸν ἱστορικόν. ἦν δὲ ἐπὶ τῆς ϙγ' ὀλυμπιάδος* (dieselbe zeitbestimmung u. *Θεόπομπος* s. u. s. 54),

Digitized by Google

ὡς καὶ πρὸ τῆς Φιλίππου βασιλείας εἶναι τοῦ Μακεδόνος. § 28. ἔγραψεν ἀπὸ τῆς Ἰλίου πορθήσεως καὶ τῶν Τρωικῶν μέχρι τῶν αὐτοῦ χρόνων βιβλία λ', περὶ ἀγαθῶν καὶ κακῶν βιβλία κδ', παραδόξων τῶν ἑκασταχοῦ βιβλία ιέ, εὑρημάτων ὧν ἕκαστος εὗρε βιβλία β', καὶ ⟨τὰ⟩ λοιπά.

Strab. XIII p. 622 ἀνὴρ δ' ἄξιος μνήμης ἐκ τῆσδε τῆς πόλεως (Κύμης) ἀναντιλέκτως μέν ἐστιν Ἔφορος, τῶν Ἰσοκράτους γνωρίμων τοῦ ῥήτορος, ὁ τὴν ἱστορίαν συγγράψας καὶ τὰ περὶ τῶν εὑρημάτων.

Cic. de orat. II 13, 57 *postea vero quasi ex clarissima rhetoris officina duo praestantes ingenio, Theopompus et Ephorus, ab Isocrate magistro impulsi se ad historiam contulerunt; causas omnino numquam attigerunt.*

Vit. X or. Isocrat. p. 837c ἐμαθήτευσε δὲ αὐτῷ καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος καὶ Ἀσκληπιάδης — καὶ Θεοδέκτης ὁ Φασηλίτης . . . p. 839a τοῦ δὲ Κυμαίου Ἐφόρου ἀπράκτου τῆς σχολῆς ἐξελθόντος καὶ πάλιν ὑπὸ τοῦ πατρὸς Δημοφίλου πεμφθέντος ἐπὶ δευτέρῳ μισθῷ παίζων Δίφορον αὐτὸν ἐκάλει. ἐσπούδασε μέντοι ἱκανῶς περὶ τὸν ἄνδρα καὶ τὴν ὑπόθεσιν τῆς χρείας αὐτὸς ὑπεθήκατο.

Suidas u. Ἔφορος b: Ἔφορος Κυμαῖος καὶ Θεόπομπος Δαμασιστράτου Χῖος, ἄμφω Ἰσοκράτους μαθηταί, ἀπ' ἐναντίων τό τε ἦθος καὶ τοὺς λόγους ὁρμώμενοι. ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλοῦς, τὴν δὲ ἑρμηνείαν τῆς ἱστορίας ὕπτιος καὶ νωθρὸς καὶ μηδεμίαν ἔχων ἐπίτασιν· ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῇ δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεστός· φιλαλήθης ἐν οἷς ἔγραψεν. ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινοῦ δεῖσθαι, τὸν δὲ Ἔφορον κέντρου. vgl. Zosim. vit. Isocr. p. 257 W. Cic. ad Attic. VI 1, 12. Brut. 56, 204 *Isocratem in acerrumo ingenio Theopompi et lenissumo Ephori dixisse traditum est, alteri se calcaria adhibere alteri frenos.* de orat. III 9, 36 *dicebat Isocrates — se calcaribus in Ephoro, contra autem in Theopompo frenis uti solere. alterum enim exultantem verborum audacia reprimebat, alterum cunctantem et quasi verecundantem incitabat.* vgl. § 29.

Nach Plutarch π. στωικῶν ἐναντιωμ. 20 p. 1043d lehnte Ephoros es ab, Alexander auf seinem zuge zu begleiten.

Ephoros schrieb: 1. *Εὑρήματα* 2 bücher. Christoph Brusskern, de rer. inventar. scriptoribus Graecis. Bonn 1864. Paul Eichholtz, de scriptoribus περὶ εὑρημάτων. Hal. 1867.

Digitized by Google

§ 28. Gegen Ephoros schrieb Straton von Lampsakos, schüler und (287) nachfolger von Theophrastos, *εὑρημάτων ἔλεγχοι β'*. Plin. ind. auct. VII *Stratone qui contra Ephori εὑρήματα scripsit.* Polyb. XII 25e.

2. *Ἱστορίαι* 30 bücher, von der wanderung der Herakliden bis zur belagerung von Perinthos ol. 110, 1. 340.

Polyb. V 33 *Ἔφορον τὸν πρῶτον καὶ μόνον ἐπιβεβλημένον τὰ καθόλου γράφειν.*

Strab. VIII p. 332 *οἱ δ' ἐν τῇ κοινῇ τῆς ἱστορίας γραφῇ χωρὶς ἀποδείξαντες τὴν τῶν ἠπείρων τοπογραφίαν, καθάπερ Ἔφορός τε ἐποίησε καὶ Πολύβιος.*

X p. 465 *ὁ ἐσπουδασμένως οὕτως ἐπαινέσας αὐτὸν (Ἔφορον) Πολύβιος καὶ φήσας περὶ τῶν Ἑλληνικῶν καλῶς μὲν Εὔδοξον, κάλλιστα δ' Ἔφορον ἐξηγεῖσθαι περὶ κτίσεων συγγενειῶν μεταναστάσεων ἀρχηγετῶν . . .* vgl. Polyb. IX 1.

Diod. IV 1 *Ἔφορος μὲν γὰρ ὁ Κυμαῖος, Ἰσοκράτους ὢν μαθητής, ὑποστησάμενος γράφειν τὰς κοινὰς πράξεις, τὰς μὲν παλαιὰς μυθολογίας ὑπερέβη, τὰ δ' ἀπὸ τῆς Ἡρακλειδῶν καθόδου πραχθέντα συνταξάμενος ταύτην ἀρχὴν ἐποιήσατο τῆς ἱστορίας. ὁμοίως δὲ τούτῳ Καλλισθένης καὶ Θεόπομπος, κατὰ τὴν αὐτὴν ἡλικίαν γεγονότες, ἀπέστησαν τῶν παλαιῶν μύθων.*

V 1 *Ἔφορος δὲ τὰς κοινὰς πράξεις ἀναγράφων οὐ μόνον κατὰ τὴν λέξιν ἀλλὰ καὶ κατὰ τὴν οἰκονομίαν ἐπιτέτευχε· τῶν γὰρ βίβλων ἑκάστην πεποίηκε περιέχειν κατὰ γένος τὰς πράξεις.*

XVI 76 ol. 109, 4. 341 *τῶν δὲ συγγραφέων Ἔφορος μὲν ὁ Κυμαῖος τὴν ἱστορίαν ἐνθάδε κατέστροφεν εἰς τὴν Περίνθου πολιορκίαν, περιείληφε δὲ τῇ γραφῇ πράξεις τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων, ἀρξάμενος ἀπὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου. χρόνον δὲ περιέλαβε σχεδὸν ἐτῶν ἑπτακοσίων καὶ πεντήκοντα, καὶ βίβλους γέγραφε τριάκοντα, προοίμιον ἑκάστῃ προθείς.*

Clemens Al. strom. I 21 p. 403 P. *ἀπὸ τούτου* (der rückkehr der Herakliden) *ἐπὶ Εὐαίνετον ἄρχοντα ἐφ' οὗ φασὶν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι, ὡς μὲν Φανίας, ἔτη ἑπτακόσια δεκαπέντε· ὡς δὲ Ἔφορος, ἑπτακόσια τριάκοντα πέντε.* vgl. I. Brandis, de temp. gr. antiqu. rat. p. 25. Diels Rh. mus. XXXI 30. Unger Philol. XL 99.

Ephor. fr. 2 (bei Harpocration u. *ἀρχαίως*) *περὶ μὲν γὰρ τῶν καθ' ἡμᾶς γεγενημένων τοὺς ἀκριβέστατα λέγοντας*

Digitized by Google

πιστοτάτους ἡγούμεθα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω δι- § 28.
εξιόντας ἀπιθανωτάτους εἶναι νομίζομεν, ὑπολαμβάνοντες
οὔτε τὰς πράξεις ἁπάσας οὔτε τῶν λόγων τοὺς πλείστους
εἰκὸς εἶναι μνημονεύεσθαι διὰ τοσούτων ⟨ἐτῶν Cobet⟩.

Polyb. XII 27 ὁ μὲν γὰρ Ἔφορός φησιν, εἰ δυνατὸν
ἦν αὐτοὺς (τοὺς συγγραφέας) παρεῖναι πᾶσι τοῖς πράγμασι,
ταύτην ἂν διαφέρειν πολὺ τῶν ἐμπειριῶν. c. 28 ὁ γὰρ Ἔφορος,
παρ' ὅλην τὴν πραγματείαν θαυμάσιος ὢν καὶ κατὰ τὴν
φράσιν καὶ κατὰ τὸν χειρισμὸν καὶ κατὰ τὴν ἐπίνοιαν τῶν
λημμάτων, δεινότατός ἐστιν ἐν ταῖς παρεκβάσεσι καὶ ταῖς
ἀφ' αὑτοῦ γνωμολογίαις, καὶ συλλήβδην ὅταν που τὸν ἐπι-
μετροῦντα λόγον διατιθῆται, κατὰ δέ τινα συντυχίαν εὐχα-
ριστότατα καὶ πιθανώτατα περὶ τῆς συγκρίσεως εἴρηκε τῆς
τῶν ἱστοριογράφων καὶ λογογράφων.

Über seinen gegensatz zu Hellanikos s. § 16 s. 19.

Joseph. w. Apion I 12 p. 183 s. οἱ δοκοῦντες ἀκριβέ-
στατοι συγγραφεῖς, ὧν ἐστὶν Ἔφορος.

Polyb. VI 45 (über die gesetze der Kreter) οἱ λογιώ-
τατοι τῶν ἀρχαίων συγγραφέων, Ἔφορος Ξενοφῶν Καλλι-
σθένης Πλάτων.

Strab. IX p. 422 s. (fr. 70) Ἔφορος δ' ᾧ τὸ πλεῖστον
προσχρώμεθα διὰ τὴν περὶ ταῦτα ἐπιμέλειαν, καθάπερ καὶ
Πολύβιος μαρτυρῶν τυγχάνει, ἀνὴρ ἀξιόλογος, δοκεῖ μοι
τἀναντία ποιεῖν ἑσθ' ὅτε τῇ προαιρέσει καὶ ταῖς ἐξ ἀρχῆς
ὑποσχέσεσιν. ἐπιτιμήσας γοῦν τοῖς φιλομυθοῦσιν ἐν τῇ τῆς
ἱστορίας γραφῇ καὶ τὴν ἀλήθειαν ἐπαινέσας προστίθησι τῷ
περὶ τοῦ μαντείου τούτου (τοῦ ἐν Δελφοῖς) λόγῳ σεμνήν
τινα ὑπόσχεσιν, ὡς πανταχοῦ μὲν ἄριστον νομίζει τἀληθές,
μάλιστα δὲ κατὰ τὴν ὑπόθεσιν ταύτην. ἄτοπον γὰρ εἰ περὶ
μὲν τῶν ἄλλων τὸν τοιοῦτον ἀεὶ τρόπον διώκομεν, φησί,
περὶ δὲ τοῦ μαντείου λέγοντες ὃ πάντων ἐστὶν ἀψευδέστα-
τον τοῖς οὕτως ἀπίστοις καὶ ψεύδεσι χρησόμεθα λόγοις.
ταῦτα δ' εἰπὼν ἐπιφέρει παραχρῆμα, ὅτι ὑπολαμβάνουσι
κατασκευάσαι τὸ μαντεῖον Ἀπόλλωνα μετὰ Θέμιδος ὠφελῆ-
σαι βουλόμενον τὸ γένος ἡμῶν. εἶτα τὴν ὠφέλειαν εἰπὼν
ὅτι εἰς ἡμερότητα προὐκαλεῖτο καὶ ἐσωφρόνιζε, τοῖς μὲν χρη-
στηριάζων καὶ τὰ μὲν προστάττων τὰ δ' ἀπαγορεύων, τοὺς
δ' οὐδ' ὅλως προσιέμενος, ταῦτα διοικεῖν νομίζουσι, φησίν,
αὐτὸν οἱ μὲν αὐτὸν τὸν θεὸν σωματοειδῆ γινόμενον, οἱ δ'
ἀνθρώποις ἔννοιαν παραδιδόντα τῆς ἑαυτοῦ βουλήσεως. —

Digitized by Google

§ 28. ἐξ Ἀθηνῶν δ' ὁρμηθέντα ἐπὶ Δελφοὺς ταύτην ἰέναι τὴν ὁδόν, ἣ νῦν Ἀθηναῖοι τὴν Πυθαΐδα πέμπουσι γενόμενον δὲ κατὰ Πανοπέας Τιτυὸν καταλῦσαι ἔχοντα τὸν τόπον, βίαιον ἄνδρα καὶ παράνομον· τοὺς δὲ Παρνασίους συμμίξαντας αὐτῷ καὶ ἄλλον μηνῦσαι χαλεπὸν ἄνδρα Πύθωνα τοὔνομα, ἐπίκλησιν δὲ Δράκοντα, κατατοξεύοντος δ' ἐπικελεύειν ἴε παιάν. — τί δ' ἂν εἴη μυθωδέστερον ἢ Ἀπόλλων τοξεύων καὶ κολάζων Τιτυοὺς καὶ Πύθωνας καὶ ὀδεύων ἐξ Ἀθηνῶν εἰς Δελφοὺς καὶ γῆν πᾶσαν ἐπιών; εἰ δὲ ταῦτα μὴ ὑπελάμβανε μύθους εἶναι, τί ἐχρῆν τὴν μυθευομένην Θέμιν γυναῖκα καλεῖν, τὸν δὲ μυθευόμενον δράκοντα ἄνθρωπον; πλὴν εἰ συγχεῖν ἐβούλετο τόν τε τῆς ἱστορίας καὶ τὸν τοῦ μύθου τύπον. παραπλήσια τούτοις καὶ τὰ περὶ τῶν Αἰτωλῶν εἰρημένα κτέ. vgl. X p. 463 s.

Theon. progymn. 6 p. 220 s. καὶ μέντοι καὶ Ἔφορος ἐν τῇ δ' χρῆται τούτῳ τῷ τρόπῳ, ὅτι ἄρα Τιτυὸς μὲν ἦν Πανοπέως δυνάστης, ἀνὴρ παράνομος καὶ βίαιος, Πύθων δὲ θηριώδης τὴν φύσιν, Δράκων ἐπικαλούμενος, οἱ δὲ περὶ τὴν πάλαι μὲν Φλέγραν νῦν δὲ Παλλήνην ὀνομαζομένην κατοικοῦντες ἦσαν ἄνθρωποι ὠμοὶ καὶ ἱερόσυλοι καὶ ἀνθρωποφάγοι, οἱ καλούμενοι Γίγαντες, οὓς Ἡρακλῆς λέγεται χειρώσασθαι τὴν Τροίαν ἑλών, καὶ διὰ τὸ κρατῆσαι τοὺς περὶ τὸν Ἡρακλέα ὀλίγους ὄντας τῶν Γιγάντων πολλῶν ὄντων καὶ ἀσεβῶν θεῶν ἔργον ἅπασιν ἐδόκει γεγονέναι τὸ περὶ τὴν μάχην, καὶ ὅσα ἄλλα ἐπιλύεται περὶ τοῦ Λυκούργου καὶ Μίνωος καὶ Ῥαδαμάνθυος καὶ Διὸς καὶ Κουρήτων καὶ τῶν ἄλλων τῶν ἐν τῇ Κρήτῃ μυθολογουμένων. vgl. Strab. X p. 476.

Strab. VIII p. 334 (fr. 56) Ἔφορος μὲν οὖν ἀρχὴν εἶναι τῆς Ἑλλάδος τὴν Ἀκαρνανίαν φησὶν ἀπὸ τῶν ἑσπερίων μερῶν· ταύτην γὰρ συνάπτειν πρώτην τοῖς Ἠπειρωτικοῖς ἔθνεσιν. ἀλλ' ὥσπερ οὗτος τῇ παραλίᾳ μέτρῳ χρώμενος ἐντεῦθεν ποιεῖται τὴν ἀρχήν, ἡγεμονικόν τι τὴν θάλατταν κρίνων πρὸς τὰς τοπογραφίας . . . VII p. 302 s. (fr. 76) Ἔφορος δ' ἐν τῇ τετάρτῃ μὲν τῆς ἱστορίας Εὐρώπῃ δ' ἐπιγραφομένῃ βίβλῳ, περιοδεύσας μέχρι Σκυθῶν . . .

Diod. I 9 (fr. 6) περὶ πρώτων δὲ τῶν βαρβάρων διέξιμεν, οὐκ ἀρχαιοτέρους αὐτοὺς ἡγούμενοι τῶν Ἑλλήνων, καθάπερ Ἔφορος εἰρηκεν, ἀλλὰ κτέ.

Ephoros führte in seiner darstellung alte zeugnisse an, denkmäler, dichter u. a.

Digitized by Google

Das um 90 v. Ch. verfaszte gedicht, welches fälschlich Skymnos von Chios beigelegt wird, ist ein auszug aus den geographischen abschnitten des Ephoros (Müller geogr. gr. m. I p. 196—237): vs. 470 *ἑξῆς διέξιμεν δὲ πάλι τὴν Ἑλλάδα, ‖ ἐπὶ κεφαλαίων τούς τε περὶ αὐτὴν τόπους ‖ ἐθνικῶς ἅπαντας κατ' Ἔφορον δηλώσομεν.* überhaupt diente die geschichte des Ephoros den späteren als handbuch und ward namentlich von Strabon und Diodor ausgeschrieben, auch von Trogus Plutarch Pausanias. vgl. R. Klüber, üb. d. quellen des D. im IX. b. Würzburg 1868. Ch. Aug. Volquardsen, üb. die qu. der gr. u. sicil. geschichten bei Diodor, b. XI—XVI. Kiel. 1868. Wilh. Collmann, de Diodori S. fontibus. Leipz. 1869. Hil. Wolffgarten, de Ephori et Dinonis historiis a Trogo Pompeio expressis. Bonn 1868. Al. Enmann, die qu. d. Pomp. Trogus. Dorpat 1880. § 28.

Diodor nennt u. a. XII 41 Ephoros als seinen gewährsmann für c. 38—40: *αἰτίαι μὲν οὖν τοῦ Πελοποννησιακοῦ πολέμου τοιαῦταί τινες ὑπῆρξαν, ὡς Ἔφορος ἀνέγραψε.*

Ephoros erzählte im 10. buche (fr. 107) die belagerung von Paros durch Miltiades 489; im 20. buche (fr. 138) den *διοικισμός* von Mantineia (385); im 25. (fr. 146[a]) die schlacht bei Mantineia (362).

Plutarch. *π. ἀδολεσχ.* 22 p. 514[c] *τῶν παρ' ἡμῖν τις κατὰ τύχην ἀνεγνωκὼς δύο τῶν Ἐφόρου βιβλίων ἢ τρία πάντας ἀνθρώπους κατέτριβε καὶ πᾶν ἀνάστατον ἐποίει συμπόσιον, ἀεὶ τὴν ἐν Λεύκτροις μάχην καὶ τὰ συνεχῆ διηγούμενος· ὅθεν Ἐπαμεινώνδας παρωνύμιον ἔσχεν.* vgl. fr. 67 (b. Strab. IX p. 400 s.). Wyttenbach zu Plut. apophth. p. 192[c].

Polyb. XII 25[f] *Ἔφορος . . ἐν τοῖς πολεμικοῖς τῶν μὲν κατὰ θάλατταν ἔργων ἐπὶ ποσὸν ὑπόνοιαν ἐσχηκέναι μοι δοκεῖ, τῶν δὲ κατὰ γῆν ἀγώνων ἄπειρος εἶναι τελέως. τοιγαροῦν ὅταν μὲν εἰς τὰς περὶ Κύπρον ναυμαχίας καὶ τὰς περὶ Κνίδον ἀτενίσῃ τις, αἷς ἐχρήσαντο οἱ βασιλέως στρατηγοὶ πρὸς Εὐαγόραν τὸν Σαλαμίνιον καὶ πάλιν πρὸς Λακεδαιμονίους, θαυμάσει τὸν συγγραφέα κατὰ τὴν δύναμιν καὶ κατὰ τὴν ἐμπειρίαν καὶ πολλὰ τῶν χρησίμων ἀπενέγκαιτ' ἂν πρὸς τὰς ὁμοίας περιστάσεις· ὅταν δὲ τὴν περὶ Λεῦκτρα μάχην ἐξηγῆται Θηβαίων τε καὶ Λακεδαιμονίων ἢ τὴν ἐν Μαντινείᾳ πάλιν τῶν αὐτῶν τούτων, ἐν ᾗ καὶ μετήλλαξε τὸν*

Digitized by Google

§ 28. *βίον Ἐπαμεινώνδας, ἐν τούτοις ἐὰν ἐπὶ τὰ κατὰ μέρος ἐπιστήσας τις θεωρῇ τὰς ἐκτάξεις καὶ μετατάξεις τὰς κατ' αὐτοὺς τοὺς κινδύνους, γελοῖος φανεῖται καὶ παντελῶς ἄπειρος καὶ ἀόρατος τῶν τοιούτων ὤν. ὁ μὲν οὖν ἐν τοῖς Λεύκτροις κίνδυνος ἁπλοῦς γεγονὼς καὶ καθ' ἕν τι μέρος τῆς δυνάμεως.οὐ λίαν ἐκφανῆ ποιεῖ τὴν τοῦ συγγραφέως ἀπειρίαν· ὁ δὲ περὶ Μαντίνειαν τὴν μὲν ἔμφασιν ἔχει ποικίλην καὶ στρατηγικήν, ἔστι δ' ἀνυπόστατος καὶ τελέως ἀδιανόητος τῷ συγγραφεῖ. τοῦτο δ' ἔσται δῆλον, ἐάν τις τοὺς τόπους ὑποθέμενος ἀληθινῶς ἐπιμετρῇ τὰς κινήσεις τὰς ὑπ' αὐτοῦ δηλουμένας. τὸ δ' αὐτὸ συμβαίνει καὶ Θεοπόμπῳ καὶ μάλιστα Τιμαίῳ.*

Das dreiszigste buch (über den phokischen krieg) verfaszte Demophilos, des Ephoros sohn (Müller FHG I LXI. 1. II 86[a]). vgl. Pack Hermes XI 189. Diod. XVI 14. ol. 105, 4. 357. *τῶν δὲ συγγραφέων Δημόφιλος μὲν ὁ Ἐφόρου τοῦ ἱστοριογράφου υἱὸς τὸν παραλειφθέντα πόλεμον ὑπὸ τοῦ πατρός, ὀνομασθέντα δὲ ἱερόν, συντεταγμένος, ἐντεῦθεν ἦρκται ἀπὸ τῆς καταλήψεως τοῦ ἐν Δελφοῖς ἱεροῦ καὶ τῆς συλήσεως τοῦ μαντείου ὑπὸ Φιλομήλου τοῦ Φωκέως. ἐγένετο δ' ὁ πόλεμος οὗτος ἔτη ἕνδεκα, ἕως τῆς φθορᾶς τῶν διανειμαμένων τὰ ἱερὰ χρήματα.*

Athen. VI, p. 232[d] *Ἔφορος δὲ ἢ Δημόφιλος ὁ υἱὸς αὐτοῦ ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ λέγων φησίν* (fr. 155).

Fortsetzungen der geschichte des Ephoros § 40.

§ 29. Theopompos von Chios.

Müller FHG I LXV. 258. Aug. Jul. Edm. Pflugk, de Theopompi Chii vita et scriptis. Berl. 1827. fragmenta coll. R. H. Eyssonius Wichers. Leiden 1829. Al. Riese jhb. 1870, 673. F. Blass att. bereds. II 370.

Suidas: *Θεόπομπος Χῖος, ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς τοῖς χρόνοις κατὰ τὴν ἀναρχίαν Ἀθηναίων, ἐπὶ τῆς ϛγ' ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος· Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν βιβλίοις β', Φιλιππικὰ ἐν βιβλίοις οβ', Ἑλληνικὰς ἱστορίας· ἔπονται δὲ ταῖς Θουκυδίδου καὶ (καθάπερ αἱ?) Ξενοφῶντος, καὶ εἰσὶν ἐν βιβλίοις ια', ἔχουσαι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ λοιπά. ἔγραψε καὶ ἕτερα πλεῖστα.*

Suid. u. *Ἔφορος* b. (o. s. 49) *φυγὰς δὲ γενόμενος ὁ*

Digitized by Google

Θεόπομπος ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος. ἐπέ- § 29.
στελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρῳ. καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλὰ λέγεται καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.

Phot. bibl. cod. 176 p. 120 s. Bk. *ἀνεγνώσθησαν Θεοπόμπου λόγοι ἱστορικοί. ν΄ δὲ καὶ γ΄ εἰσὶν οἱ σωζόμενοι αὐτοῦ τῶν ἱστορικῶν λόγοι. διαπεπτωκέναι δὲ καὶ τῶν παλαιῶν τινὲς ἔφησαν τήν τε ἕκτην καὶ ἑβδόμην, καὶ δὴ καὶ τὴν ἐνάτην καὶ εἰκοστὴν καὶ τὴν τριακοστήν. ἀλλὰ ταύτας μὲν οὐδ' ἡμεῖς εἴδομεν, Μηνοφάνης δέ τις τὰ περὶ Θεόπομπον διεξιών (ἀρχαῖος δὲ καὶ οὐκ εὐκαταφρόνητος ὁ ἀνὴρ) καὶ τὴν δωδεκάτην συνδιαπεπτωκέναι λέγει· καίτοι αὐτὴν ἡμεῖς ταῖς ἄλλαις συνανέγνωμεν. — —*

Ἔστι δὲ Θεόπομπος Χῖος μὲν τὸ γένος, υἱὸς Δαμοστράτου (Δαμασιστράτου Suid. Paus. III 10, 3), *φυγεῖν δὲ λέγεται τῆς πατρίδος ἅμα τῷ πατρί, ἐπὶ λακωνισκῷ τοῦ πατρὸς ἁλόντος, ἀνασωθῆναι δὲ τῇ πατρίδι τελευτήσαντος αὐτῷ τοῦ πατρός, τὴν δὲ κάθοδον Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως δι' ἐπιστολῶν τῶν πρὸς τοὺς Χίους καταπραξαμένου· ἐτῶν δὲ εἶναι τότε τὸν Θεόπομπον ε΄ καὶ μ΄. μετὰ δὲ τὸν Ἀλεξάνδρου θάνατον πανταχόθεν ἐκπεσόντα εἰς Αἴγυπτον ἀφικέσθαι, Πτολεμαῖον δὲ τὸν ταύτης βασιλέα οὐ προσίεσθαι τὸν ἄνδρα, ἀλλὰ καὶ ὡς πολυπράγμονα ἀνελεῖν ἐθελῆσαι, εἰ μή τινες τῶν φίλων παραιτησάμενοι διεσώσαντο.*

Συνακμάσαι δὲ λέγει αὐτὸς ἑαυτὸν Ἰσοκράτει τε τῷ Ἀθηναίῳ (Ἀμύκλα oder *Ἀπολλωνιάτῃ* vgl. u. s. 58 f.) *καὶ Θεοδέκτῃ τῷ Φασηλίτῃ καὶ Ναυκράτει τῷ Ἐρυθραίῳ, καὶ τούτους ἅμ' αὐτῷ τὰ πρωτεῖα τῆς ἐν λόγοις παιδείας ἔχειν ἐν τοῖς Ἕλλησιν· ἀλλ' Ἰσοκράτην μὲν δι' ἀπορίαν βίου καὶ Θεοδέκτην μισθοῦ λόγους γράφειν καὶ σοφιστεύειν, ἐκπαιδεύοντας τοὺς νέους κἀκεῖθεν καρπουμένους τὰς ὠφελείας, αὐτὸν δὲ καὶ Ναυκράτην αὐταρκῶς ἔχοντας ἐν τούτοις ἀεὶ τὴν διατριβὴν ἐν τῷ φιλοσοφεῖν καὶ φιλομαθεῖν ποιεῖσθαι. καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ παράλογον ἀντιποιουμένῳ τῶν πρωτείων, οὐκ ἐλαττόνων μὲν ἢ δισμυρίων ἐπῶν τοὺς ἐπιδεικτικοὺς τῶν λόγων συγγραψαμένῳ, πλείους δ' ἢ ιε΄ μυριάδας, ἐν οἷς τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις μέχρι νῦν ἀπαγγελλομένας ἔστι λαβεῖν· ἔτι δὲ καὶ διότι οὐδείς ἐστι τόπος κοινὸς τῶν Ἑλλήνων οὐδὲ πόλις ἀξιόχρεως,*

Digitized by Google

§ 29. εἰς οὓς αὐτὸς οὐκ ἐπιδημῶν καὶ τὰς τῶν λόγων ἐπιδείξεις ποιούμενος οὐχὶ μέγα κλέος καὶ ὑπόμνημα τῆς ἐν λόγοις ἑαυτοῦ κατέλιπεν ἀρετῆς. ταῦτα αὐτὸς περὶ αὐτοῦ λέγων τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔχοντας ἐν λόγοις τὸ πρωτεύειν πολὺ καταδεεστέρους ἀποφαίνεται τῶν καθ' ἑαυτὸν οὐδὲ τῆς δευτέρας τάξεως ἀξιουμένων, καὶ τοῦτο δῆλον εἶναί φησι καὶ ἐξ αὐτῶν τῶν παρ' ἑκατέροις ἐκπεπονημένων καὶ καταλελειμμένων λόγων· πολλὴν γὰρ τὴν τοιαύτην παίδευσιν ἐπίδοσιν λαβεῖν κατὰ τὴν αὐτοῦ ἡλικίαν.

— — Φασὶ δὲ αὐτόν τε καὶ Ἔφορον Ἰσοκράτους γενέσθαι μαθητάς — καὶ τὰς ἱστορικὰς δ' ὑποθέσεις τὸν διδάσκαλον αὐτοῖς προβαλεῖν, τὰς μὲν ἄνω τῶν χρόνων Ἐφόρῳ, Θεοπόμπῳ δὲ τὰς μετὰ Θουκυδίδην Ἑλληνικάς, πρὸς τὴν ἑκατέρου φύσιν καὶ τὸ ἔργον ἁρμοσάμενον. —

Πλείσταις μὲν οὖν παρεκβάσεσι παντοδαπῆς ἱστορίας τοὺς ἱστορικοὺς αὐτοῦ λόγους Θεόπομπος παρατείνει. διὸ καὶ Φίλιππος ὁ πρὸς Ῥωμαίους πολεμήσας, ἐξελὼν ταύτας καὶ τὰς Φιλίππου συνταξάμενος πράξεις, αἳ σκοπός εἰσι Θεοπόμπῳ, εἰς ις' βίβλους μόνας, μηδὲν παρ' ἑαυτοῦ προσθεὶς ἢ ἀφελὼν πλὴν — τῶν παρεκτροπῶν, τὰς πάσας ἀπήρτισεν. —

Dionys. H. schr. an Cn. Pompeius 6 p. 782—787 Θεόπομπος δ' ὁ Χῖος, ἐπιφανέστατος πάντων τῶν Ἰσοκράτους μαθητῶν γενόμενος καὶ πολλοὺς μὲν πανηγυρικοὺς πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος λόγους ἐπιστολάς τε τὰς Χιακὰς ἐπιγραφομένας καὶ ὑποθήκας ἄλλας, λόγου δ' ἀξίαν ἱστορίαν πεπραγματευμένος ἄξιός ἐστιν ἐπαινεῖσθαι, πρῶτον μὲν τῆς ὑποθέσεως τῶν ἱστοριῶν· καλαὶ γὰρ ἀμφότεραι, ἡ μὲν τὰ λοιπὰ τοῦ Πελοποννησιακοῦ πολέμου περιέχουσα ἡ δὲ τὰ Φιλίππῳ πεπραγμένα· ἔπειτα τῆς οἰκονομίας· ἀμφότεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς· μάλιστα δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν συγγραφήν. δῆλος γάρ ἐστιν, εἰ καὶ μηδὲν ἔγραφε, πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος, μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετελεκώς, καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενημένος, πολλοῖς δ' εἰς ὁμιλίαν ἐληλυθὼς ἀνδράσι τοῖς τότε πρωτεύουσι δημαγωγοῖς τε καὶ στρατηγοῖς καὶ φιλοσόφοις διὰ τὴν συγγραφήν· οὐ γὰρ ὥσπερ τινὲς πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν τῆς ἱστορίας ἐποιήσατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. γνοίη

Digitized by Google

δ' ἄν τις αὐτοῦ τὸν πόνον ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς γραφῆς. καὶ γὰρ ἐθνῶν εἰρηκεν οἰκισμοὺς καὶ πόλεων κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τόπων ἰδιώματα δεδήλωκε, καὶ εἴ τι θαυμαστὸν ἢ παράδοξον ἑκάστη γῇ καὶ θάλασσα φέρει συμπεριείληφε τῇ πραγματείᾳ. καὶ μηδεὶς ὑπολάβῃ ψυχαγωγίαν ταῦτ' εἶναι μόνον, οὐ γὰρ οὕτως ἔχει, ἀλλὰ πᾶσαν ὡς ἔπος εἰπεῖν ὠφέλειαν παρέχει. ἵνα δὲ πάντ' ἀφῶ τἆλλα, τίς οὐχ ὁμολογήσει τοῖς ἀσκοῦσι τὴν φιλόσοφον ῥητορικὴν ἀναγκαῖον εἶναι πολλὰ μὲν ἔθη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμαθεῖν, πολλοὺς δὲ νόμους [ἀκοῦσαι] καὶ πολιτειῶν σχήματα καὶ βίους ἀνδρῶν καὶ πράξεις καὶ τέλη (ἤθη Herwerden) καὶ τύχας. τούτων τοίνυν ἅπασαν ἀφθονίαν δέδωκεν, οὐκ ἀπεσπασμένην τῶν πραγμάτων ἀλλὰ συμπαροῦσαν. πάντα δὴ ταῦτα ζηλωτὰ τοῦ συγγραφέως καὶ ἔτι πρὸς τούτοις ὅσα φιλοσοφεῖ παρ' ὅλην τὴν ἱστορίαν, περὶ δικαιοσύνης καὶ εὐσεβείας καὶ τῶν ἄλλων ἀρετῶν πολλοὺς καὶ καλοὺς διεξερχόμενος λόγους. τελευταῖόν ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηριστικώτατον, ὅπερ οὐδενὶ τῶν ἄλλων συγγραφέων οὕτως ἀκριβῶς ἐξείργασται καὶ δυνατῶς οὔτε τῶν πρεσβυτέρων οὔτε τῶν νεωτέρων· τί δὲ τοῦτ' ἔστι; τὸ καθ' ἑκάστην πρᾶξιν μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν, ἀλλ' ἐξετάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ τῶν πραξάντων τὰς διανοίας καὶ τὰ πάθη τῆς ψυχῆς, ἃ μὴ ῥᾴδια τοῖς πολλοῖς εἰδέναι, καὶ πάντ' ἐκκαλύπτειν τὰ μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμένης κακίας. καί μοι δοκεῖ οὐδ' ὁ μυθευόμενος ἐν ᾅδου τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς ἐπὶ τῶν ἐκεῖ δικαστῶν οὕτως ἀκριβὴς εἶναι ὡς ὁ διὰ τῆς Θεοπόμπου γραφῆς γιγνόμενος. διὸ καὶ βάσκανος ἔδοξεν εἶναι προσλαμβάνων τοῖς ἀναγκαίοις ὀνειδισμοῖς καὶ ἅττα τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα κατηγορήματα, ὁμοιόν τι ποιῶν τοῖς ἰατροῖς, οἳ τέμνουσι καὶ καίουσι τὰ διεφθαρμένα τοῦ σώματος ἕως βάθους τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες οὐδὲ τῶν ὑγιαινόντων καὶ κατὰ φύσιν ἐχόντων στοχαζόμενοι. § 29.

Τοιοῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ· ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστα ἔοικε. καθαρά τε γὰρ ἡ λέξις καὶ κοινὴ καὶ σαφὴς ὑψηλή τε καὶ μεγαλοπρεπὴς καὶ τὸ πομπικὸν ἔχουσα πολύ, συγκειμένη τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς ῥέουσα. διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πικρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων,

Digitized by Google

§ 29. *ὅταν ἐπιτρέψῃ τοῖς πάθεσι, μάλιστα δ' ὅταν ὀνειδίσῃ ἢ πόλεσιν ἢ στρατηγοῖς πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους. πολὺς γὰρ ⟨ῥεῖ⟩ ἐν τούτοις καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις ἴδοι κἀκ τῶν Χιακῶν ἐπιστολῶν ἃς τῷ ⟨ἐναγωνίῳ⟩ πνεύματι ἐπιτρέψας γέγραφεν. εἰ δ' ὑπερεῖδεν [ἐν τούτοις], ἐφ' οἷς μάλιστ' ἐσπούδακε, τῆς τε συμπλοκῆς τῶν φωνηέντων γραμμάτων καὶ τῆς κυκλικῆς εὐρυθμίας τῶν περιόδων καὶ τῆς ὁμοειδείας τῶν σχηματισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν φράσιν. ἔστι δ' ἃ καὶ κατὰ τὸν πραγματικὸν τύπον ἁμαρτάνει καὶ μάλιστα κατὰ τὰς παρεκβολάς· οὔτε γὰρ ἀναγκαῖαί τινες αὐτῶν οὔτ' ἐν καιρῷ γενόμεναι πολὺ τὸ παιδιῶδες ἐμφαίνουσιν. ἐν αἷς ἐστὶ καὶ τὰ περὶ Σειληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διανυμαχήσαντος πρὸς τὴν τριήρη (πρὸς τῇ τριήρει* de vet. script. censura 3 p. 429) *καὶ ἄλλα οὐκ ὀλίγα ὅμοια τούτοις.*

Theopomp war 45 jahre alt, als er auf fürbitten Alexanders des groszen (ol. 111. 336—2) nach seiner vaterstadt Chios zurückberufen wurde: folglich ist er nicht früher als ol. 100. 380 geboren. um diese zeit bestand ein bündnis zwischen Chios und Athen: sobald dieses ol. 100, 3. 377 zu einem trutzbündnisse der griechischen seestaaten gegen Sparta erweitert wurde (Schaefer, Dem. u. s. z. I 23), werden die führer der demokratie die vertreibung der lakonischen partei bewirkt haben.

Quint. X 1, 74 *Theopompus his (Thucydidi et Herodoto) proximus ut in historia praedictis minor ita oratori magis similis, ut qui antequam est ad hoc opus sollicitatus diu fuerit orator.*

Theopompos verfaszte eine lobrede auf Maussolos von Karien († ol. 107, 2. 351) und gewann den von dessen wittwe Artemisia ausgesetzten preis. Gell. X 18, 6 *ad eas laudes decertandas venisse dicuntur viri nobiles ingenio atque lingua praestabili, Theopompus Theodectes Naucrates; sunt etiam qui Isocratem ipsum cum his certavisse memoriae mandaverint, sed eo certamine vicisse Theopompum iudicatum est: is fuit Isocratis discipulus. extat nunc quoque Theodecti tragoedia quae inscribitur Mausolus.* Vit. X or. 838^{b}. Porphyr. b. Euseb. praep. ev. X 3, 5 p. 464^{c} (ὁ *Θεόπομπος*) *ὑπερφρονεῖ τὸν Ἰσοκρά-*

Digitized by Google

την καὶ νενικῆσθαι ὑφ' ἑαυτοῦ λέγει κατὰ τὸν ἐπὶ Μαυ- § 29.
σώλῳ ἀγῶνα τὸν διδάσκαλον. nicht der Athener Isokrates, sondern Isokrates von Apollonia bewarb sich um den preis nach Suidas u. *Θεοδέκτης — Φασηλίτης· — οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ ὁ Ἀπολλωνιάτης καὶ Θεόπομπος ἐπὶ τῆς ρξ' ὀλυμπιάδος εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλῳ —, καὶ ἐνίκησε μάλιστα εὐδοκιμήσας ἐν ᾗ εἶπε τραγῳδίᾳ· ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα.* vgl. Suid. u. *Ἰσοκράτης Ἀμύκλα.* Sauppe z. f. d. AW. 1835 s. 411. Blass att. bereds. II 68. 378. 418.

Über die verhältnisse von Chios in der zeit Alexanders s. Demosth. u. s. z. III[a] 45, 3. 157. 162 — 4. 168—170 und die von Kirchhoff Ber. d. Berl. Ak. 1863 s. 265 ff. herausgegebene inschrift. ol. 112, 1. 332 ward Chios von den oligarchen und der anderthalb jahre früher eingelegten persischen besatzung befreit und von makedonischen truppen besetzt.

Zu Chios stand Theokritos im gegensatze zu den anhängern der makedonischen partei und persönlich zu Theopomp. vgl. a. a. o. III[a] 322. Müller FHG II 86. Strab. XIV p. 645 *ἄνδρες δὲ Χῖοι γεγόνασιν ἐλλόγιμοι Ἴων τε ὁ τραγικὸς καὶ Θεόπομπος ὁ συγγραφεὺς καὶ Θεόκριτος ὁ σοφιστής· οὗτοι δὲ καὶ ἀντεπολιτεύσαντο ἀλλήλοις.* Theopomp trug Alexander nach dessen rückkehr aus Indien brieflich seine beschwerden vor: fr. 276—278 *ἡ πρὸς Ἀλέξανδρον ἐπιστολή, αἱ περὶ τῆς Χίου* oder *αἱ Χιακαὶ ἐπιστολαί*; vgl. Dionys. a. a. O. (p. 782. 786). nach Alexanders tode muste Theopomp flüchten und fand schliesslich aufnahme bei Ptolemaeus von Ägypten, wenn Photios sich genau ausdrückt (*Πτολ. τὸν ταύτης βασιλέα*), nicht vor ol. 118, 2. 306.

Theopomps historische schriften:

Ἑλληνικά 12 bb.

Diod. XIII 42. ol. 92, 2. 411 — *Ξενοφῶν δὲ καὶ Θεόπομπος ἀφ' ὧν ἀπέλιπε Θουκυδίδης τὴν ἀρχὴν πεποίηνται, Θεόπομπος δὲ τὰς Ἑλληνικὰς πράξεις διελθὼν ἐπ' ἔτη ἑπτακαίδεκα καταλήγει τὴν ἱστορίαν εἰς τὴν περὶ Κνίδον ναυμαχίαν ἐν βίβλοις δυοκαίδεκα.* XIV 84, ol. 96, 2. 395/4. *Θεόπομπος δ' ὁ Χῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν κατέστροφεν εἰς τοῦτον τὸν ἐνιαυτὸν καὶ εἰς τὴν περὶ Κνίδον ναυμαχίαν* (ol. 96, 3. 394), *γράψας βίβλους δώδεκα. ὁ δὲ συγ-*

Digitized by Google

§ 29. γραφεὺς οὗτος ἤρκται μὲν ἀπὸ τῆς περὶ Κυνὸς σῆμα ναυμαχίας, εἰς ἣν Θουκυδίδης κατέληξε τὴν πραγματείαν, ἔγραψε δὲ χρόνον ἐτῶν δεκαεπτά. vgl. o. s. 30 f.

Die Hellenika sind benutzt von Plutarch im leben des Lysander und des Agesilaos.

Φιλιππικά 58 bb. (mit den Hellenika 70 bb.).

Diod. XVI 3. ol. 105, 1. 360/59 τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος τὴν ἀρχὴν τῶν περὶ Φίλιππον ἱστοριῶν ἐντεῦθεν ποιησάμενος γέγραφε βίβλους ὀκτὼ πρὸς ταῖς πεντήκοντα, ἐξ ὧν πέντε διαφωνοῦσιν. vgl. Photios o. s. 55.

Polyb. VIII 11 μάλιστα δ' ἄν τις ἐπιτιμήσειε περὶ τοῦτο τὸ μέρος Θεοπόμπῳ· ὃς γ' ἐν ἀρχῇ τῆς περὶ Φιλίππου συντάξεως δι' αὐτὸ μάλιστα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα τὸ παράπαν οἷον τὸν Ἀμύντου Φίλιππον, μετὰ ταῦτα παρὰ πόδας ἔν τε τῷ προοιμίῳ καὶ παρ' ὅλην δὲ τὴν ἱστορίαν ἀκρατέστατον μὲν αὐτὸν ἀποδείκνυσι πρὸς γυναῖκας, ὥστε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι τὸ καθ' αὑτὸν διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ παράστασιν, ἀδικώτατον δὲ καὶ κακοπραγμονέστατον περὶ τὰς τῶν φίλων καὶ συμμάχων κατασκευάς, πλείστας δὲ πόλεις ἐξηνδραποδισμένον καὶ πεπραξικοπηκότα μετὰ δόλου καὶ βίας, ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς ἀκρατοποσίας, ὥστε καὶ μεθ' ἡμέραν πλεονάκις μεθύοντα καταφανῆ γενέσθαι τοῖς φίλοις. εἰ δέ τις ἀναγνῶναι βουληθείη τὴν ἀρχὴν τῆς ἑνάτης καὶ τετταρακοστῆς αὐτῷ βίβλου, παντάπασιν ἂν θαυμάσαι τὴν ἀτοπίαν τοῦ συγγραφέως κτέ. c. 12 s. — τὴν δὲ Θεοπόμπου (πικρίαν) μηδ' ὑπὸ λόγον πίπτειν. προθέμενος γὰρ ὡς περὶ βασιλέως εὐφυεστάτου πρὸς ἀρετὴν γεγονότος οὐκ ἔστι τῶν αἰσχρῶν καὶ δεινῶν ὃ παραλέλοιπε. λοιπὸν ἢ περὶ τὴν ἀρχὴν καὶ προέκθεσιν τῆς πραγματείας ἀνάγκη ψεύστην καὶ κόλακα φαίνεσθαι τὸν ἱστοριογράφον ἢ περὶ τὰς κατὰ μέρος ἀποφάσεις ἀνόητον καὶ μειρακιώδη τελέως, εἰ διὰ τῆς ἀλόγου καὶ ἐπικλήτου λοιδορίας ὑπέλαβε πιστότερος μὲν αὐτὸς φανήσεσθαι, παραδοχῆς δὲ μᾶλλον ἀξιωθήσεσθαι τὰς ἐγκωμιαστικὰς ἀποφάσεις αὐτοῦ περὶ Φιλίππου.

Καὶ μὴν οὐδὲ περὶ τὰς ὁλοσχερεῖς διαλήψεις οὐδεὶς ἂν εὐδοκήσειε τῷ προειρημένῳ συγγραφεῖ, ὅς γε ἐπιβαλόμενος γράφειν τὰς Ἑλληνικὰς πράξεις ἀφ' ὧν Θουκυδίδης ἀπέλιπε, καὶ συνεγγίσας τοῖς Λευκτρικοῖς καιροῖς καὶ τοῖς ἐπιφανε-

Digitized by Google

στάτοις τῶν Ἑλληνικῶν ἔργων, τὴν μὲν Ἑλλάδα μεταξὺ καὶ τὰς ταύτης ἐπιβολὰς ἀπέρριψε, μεταλαβὼν δὲ τὴν ὑπόθεσιν τὰς Φιλίππου πράξεις προύθετο γράφειν. καίτοι γε πολλῷ σεμνότερον ἦν καὶ δικαιότερον τῇ περὶ τῆς Ἑλλάδος ὑποθέσει τὰ πεπραγμένα Φιλίππῳ συμπεριλαβεῖν ἥπερ ἐν τῇ Φιλίππου τὰ τῆς Ἑλλάδος κτέ. § 29.

Dionys. arch. I 1 *οὔτ' ἐν τοῖς ἰδίοις μέλλων πλεονάζειν ἐπαίνοις — οὔτε διαβολὰς καθ' ἑτέρων ἐγνωκὼς ποιεῖσθαι συγγραφέων, ὥσπερ Ἀναξιμένης καὶ Θεόπομπος ἐν τοῖς προοιμίοις τῶν ἱστοριῶν ἐποίησαν.*

Strab. I p. 43 *Θεόπομπος — φήσας ὅτι καὶ μύθους ἐν ταῖς ἱστορίαις ἐρεῖ, κρεῖττον ἢ ὡς Ἡρόδοτος καὶ Κτησίας καὶ Ἑλλάνικος καὶ οἱ τὰ Ἰνδικὰ συγγράψαντες.*

Cic. de legg. I 1, 5 *et apud Herodotum patrem historiae et apud Theopompum sunt innumerabiles fabulae.*

Aelian. var. hist. III 18 (fr. 76) *περιηγεῖταί τινα Θεόπομπος (ἐν τῇ ἡ τῶν Φιλιππικῶν* Theon progymn. 2 p. 159) *συνουσίαν Μίδου τοῦ Φρυγὸς καὶ Σειληνοῦ. — καὶ ταῦτα εἴ τῳ πιστὸς ὁ Χῖος λέγων, πεπιστεύσθω· ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος καὶ ἐν τούτοις καὶ ἐν ἄλλοις δέ.*

Theon. progymn. 4 p. 185 *παραιτητέον δὲ καὶ τὸ παρεκβάσεις ἐπεμβάλλεσθαι μεταξὺ διηγήσεως μακρᾶς. οὐ γὰρ ἁπλῶς χρὴ πᾶσαν παραιτεῖσθαι, καθάπερ ὁ Φίλιστος· ἀναπαύει γὰρ τὴν διάνοιαν τῶν ἀκροατῶν· ἀλλὰ τὴν τηλικαύτην τὸ μῆκος ἥτις ἀπαλλοτριοῖ τὴν διάνοιαν τῶν ἀκροωμένων ὥστε δεῖσθαι πάλιν ὑπομνήσεως τῶν προειρημένων, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς. δύο γάρ που καὶ τρεῖς καὶ πλείους ἱστορίας ὅλας κατὰ παρέκβασιν εὑρίσκομεν, ἐν αἷς οὐχ ὅπως Φιλίππου, ἀλλ' οὐδὲ Μακεδόνος τινὸς ὄνομά ἐστιν.*

Polyb. XXXIX 1[b] *διὸ καὶ τῶν ἀρχαίων συγγραφέων οἱ λογιώτατοι δοκοῦσί μοι προσαναπεπαῦσθαι τῷ τρόπῳ τούτῳ, τινὲς μὲν οὖν μυθικαῖς καὶ διηγηματικαῖς κεχρημένοι παρεκβάσεσι, τινὲς δὲ καὶ πραγματικαῖς, ὥστε μὴ μόνον ἐν αὐτοῖς τοῖς κατὰ τὴν Ἑλλάδα τόποις ποιεῖσθαι τὰς μεταβάσεις ἀλλὰ καὶ τῶν ἐκτὸς περιλαμβάνειν. λέγω δὲ οἷον ἐπειδὰν τὰ κατὰ τὴν Θετταλίαν ἐξηγούμενοι καὶ τὰς Ἀλεξάνδρου τοῦ Φεραίου πράξεις μεταξὺ τὰς κατὰ Πελοπόννησον τῶν Λακεδαιμονίων ἐπιβολὰς διηγῶνται καὶ πάλιν τὰς [ἀπ'] Ἀθηναίων, ἔτι δὲ τὰς κατὰ Μακεδονίαν ἢ τὴν Ἰλλυρίδα, κἄπειτα*

Digitized by Google

§ 29. *διατρίψαντες λέγωσι τὴν Ἰφικράτους εἰς Αἴγυπτον στρατείαν καὶ τὰ Κλεάρχῳ πραχθέντα παρανομήματα κατὰ τὸν Πόντον. ἐξ ὧν κεχρημένους μὲν ἅπαντας εὕροι τις ἂν τῷ τοιούτῳ χειρισμῷ, κεχρημένους γε μὴν ἀτάκτως . . . . ἐκεῖνοι μὲν γὰρ μνησθέντες, πῶς Βάρδυλις ὁ τῶν Ἰλλυριῶν βασιλεὺς καὶ Κερσοβλέπτης ὁ τῶν Θρᾳκῶν κατεκτήσαντο τὰς δυναστείας, οὐκέτι προστιθέασι τὸ συνεχὲς οὐδ' ἀνατρέχουσιν ἐπὶ τἀκόλουθον ἐκ διαστήματος, ἀλλὰ καθάπερ ἐν ποιήματι χρησάμενοι πάλιν ἐπανάγουσιν ἐπὶ τὰς ἐξ ἀρχῆς ὑποθέσεις.*

Plutarch. reip. ger. praec. 6 p. 803[b] *ἐπὶ δὲ τῶν Ἐφόρου καὶ Θεοπόμπου καὶ Ἀναξιμένους ῥητορειῶν καὶ περιόδων, ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ παρατάξαντες, ἔστιν εἰπεῖν 'οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας'.*

Abschnitte des 8n buchs werden u. d. t. *Θεόπομπος ἐν τοῖς θαυμασίοις* (fr. 70. 79), *Θ. ἐν ταῖς ἱστορίαις, ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια* (fr. 69) angeführt, des 10n buchs u. d. t. *ἐν τῷ περὶ δημαγωγῶν* fr. 102. fr. 95 bei Athen. IV p. 166[d] *Θ. δ' ἐν τῇ ι' τῶν Φιλιππικῶν, ἀφ' ἧς τινὲς τὸ τελευταῖον μέρος χωρίσαντες ἐν ᾧ ἐστὶ τὰ (ἐπέγραψαν?) περὶ τῶν Ἀθήνησι δημαγωγῶν.* Einen späteren abschnitt citiert Athen. XII p. 532[d]. XIII p. 604[f] *Θ. ἐν τῷ περὶ τῶν συληθέντων ἐκ Δελφῶν χρημάτων* (fr. 182 s.). Theon progymn. 8 p. 229 citiert *Θ. ἐν τῷ Φιλίππου ἐγκωμίῳ.* 2 p. 164 *ἔχομεν δὲ — καὶ Θεοπόμπου τὸ Φιλίππου ἐγκώμιον καὶ Ἀλεξάνδρου.*

Diod. XVI 71 (ol. 109, 2. 343) *τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος ἐν τῇ τῶν Φιλιππικῶν ἱστορίᾳ κατέταξε τρεῖς βίβλους περιεχούσας Σικελικὰς πράξεις· ἀρξάμενος δὲ ἀπὸ τῆς Διονυσίου τοῦ πρεσβυτέρου τυραννίδος διῆλθε χρόνον ἐτῶν πεντήκοντα* (?), *καὶ κατέστρεψεν εἰς τὴν ἔκπτωσιν Διονυσίου τοῦ νεωτέρου. εἰσὶ δὲ αἱ βίβλοι τρεῖς, ἀπὸ τῆς πρώτης καὶ τεσσαρακοστῆς ἄχρι τῆς τρίτης καὶ τεσσαρακοστῆς* (vielmehr XXXIX—XLI).

Plin. NH III 57 *Theopompus, ante quem nemo mentionem habuit (Romanorum), urbem dumtaxat a Gallis captam dixit, Clitarchus ab eo proxumus legationem tantum ad Alexandrum missam.*

Aus fr. 334 u. 108 (Pollux V 42. Plut. Dem. 26) ergibt sich, dass Theopomp die Philippika nach 324 herausgab.

Athen. III p. 85[a] (fr. 200) *τούτοις εἴ τις ἀπιστεῖ, μαθέτω*

Digitized by Google

καὶ παρὰ Θεοπόμπου τοῦ Χίου, ἀνδρὸς φιλαλήθους καὶ πολλὰ χρήματα καταναλώσαντος εἰς τὴν περὶ τῆς ἱστορίας ἐξέτασιν ἀκριβῆ. § 29.

Plut. Lysandr. 30 Θεόπομπος, ᾧ μᾶλλον ἐπαινοῦντι πιστεύσειεν ἄν τις ἢ ψέγοντι· ψέγει γὰρ ἥδιον ἢ ἐπαινεῖ.

Lukian. πῶς δεῖ ἱστορ. συγγρ. 59 — τὴν αὐτὴν Θεοπόμπῳ αἰτίαν ἔξεις φιλαπεχθημόνως κατηγοροῦντι τῶν πλείστων, καὶ διατριβὴν ποιουμένῳ τὸ πρᾶγμα, ὡς κατηγορεῖν μᾶλλον ἢ ἱστορεῖν τὰ πεπραγμένα.

Nepos Alcib. 11 *Theopompus — et Timaeus — duo maledicentissimi.*

Fr. 297 bei Athen. VI 254ᵇ (ἡ Ἀθηναίων πόλις) ἣν ὁ μὲν Πύθιος ἑστίαν τῆς Ἑλλάδος ἀνεκήρυξε, πρυτανεῖον δὲ τῆς Ἑλλάδος ὁ δυσμενέστατος Θεόπομπος, ὁ φήσας ἐν ἄλλοις πλήρεις εἶναι τὰς Ἀθήνας διονυσοκολάκων καὶ ναυτῶν καὶ λωποδυτῶν, ἔτι δὲ ψευδομαρτύρων καὶ συκοφαντῶν καὶ ψευδοκλητήρων.

Theopomps Philippika wurden ausgeschrieben von Plutarch, Trogus Pompejus (der sein eigenes werk *historiae Philippicae* benannte) und als eine encyklopädie des wissenswerten von schriftstellern aller art ausgebeutet.

§ 30. Deinon von Kolophon.

Müller FHG II 88.

Περσικά, ein weitläufiges werk in mehreren abteilungen (fr. 8. *Δείνων ἐν τῷ πρώτῳ τῆς τρίτης συντάξεως*). Deinon schrieb um die zeit der züge Alexanders die geschichte der groszreiche Asiens und die wunder Indiens. sein werk gieng von der gründung des assyrischen reiches (fr. 1 über Semiramis) bis zur eroberung Ägyptens durch Artaxerxes III Ochos (fr. 30) herab, also bis ol. 110, 1. 340/39.

Corn. Nep. Conon 5 *Dinon historicus, cui nos plurimum de Persicis rebus credimus, effugisse (Cononem) scripsit; illud addubitat utrum Tiribazo sciente an imprudente sit factum.*

Cic. de divin. I 23, 46 *quid ego, quae magi Cyro illi principi interpretati sunt ex Dinonis Persicis proferam* ss.

Plin. NH X 136 *nec sirenes impetraverint fidem, adfirmet licet Dinon, Clitarchi celebrati auctoris pater, in India esse mulcerique earum cantu quos gravatos somno lacerent.* vgl. Kleitarch. fr. 18 (b. Aelian. hist. anim. XVII 22).

Digitized by Google

§ 30. Plinius führt unter seinen gewährsmännern auf: l. VIII. X. XIV. XV. XVII. XVIII. *Dinone Colophonio.* XII. XIII. *Dinone.* vgl. O. Schneider ind. zu Silligs ausgabe u. *Dion.*

Deinons persische geschichte war eine quelle für Trogus Pompejus (Hil. Wolffgarten s. o. s. 53), Plutarch (namentlich im leben des Artaxerxes), Athenaeos, Aelian.

Scriptores historiarum Alexandri M. aetate suppares ill. Rob. Geier. Leipz. 1844.

Scriptores rerum Alexandri M. fragmenta collegit Car. Müller. Paris, Didot. 1846 (anhang zu Arrian. ed. Dübner).

St. Croix, examen critique des historiens d'Alexandre le Grand. Paris 1804. 4. Alfr. Schöne, de rer. Al. M. scriptorum inprimis Arriani et Plutarchi fontibus. Leipz. 1870 u. dazu jahrb. 1870. 433.

J. G. Droysen, die materialien zur gesch. Alexanders. Hellenism. I, 2 s. 374. 1874.

Strab. XI p. 508 — *οὐδὲ τοῖς περὶ Ἀλεξάνδρου συγγράψασι ῥᾴδιον πιστεύειν τοῖς πολλοῖς· καὶ γὰρ οὗτοι ῥᾳδιουργοῦσι διά τε τὴν δόξαν τὴν Ἀλεξάνδρου καὶ διὰ τὸ τὴν στρατείαν πρὸς τὰς ἑσχατιὰς γεγονέναι τῆς Ἀσίας πόρρω ἀφ' ἡμῶν· τὸ δὲ πόρρω δυσέλεγκτον.*

§ 31. Marsyas von Pella.

Müller scr. r. Al. p. 41. F. Ritschl, de Marsyis rerum scriptoribus (1836) opusc. ph. I. 449.

Suidas: *Μαρσύας Περιάνδρου Πελλαῖος, ἱστορικός. οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις ι', ἤρξατο δὲ ἀπὸ ⟨Καράνου?⟩ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ ⟨προῆλθε R.⟩ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου ⟨τῆς R.⟩ μετὰ τὴν Ἀλεξανδρείας κτίσιν· (Ἀττικὰ ἐν βιβλίοις ιβ') καὶ αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν. — Μαρσύας Κριτοφήμου Φιλιππεύς, ἱστορικός, ὁ νεώτερος. ἔγραψεν ἀρχαιολογίαν ἐν βιβλίοις ιβ', μυθικὰ ἐν βιβλίοις ζ', καὶ ἑτερά τινα περὶ τῆς ἰδίας πατρίδος.*

Ol. 118, 2. 306 befehligte *Μαρσύας ὁ τὰς Μακεδονικὰς πράξεις συνταξάμενος* unter Demetrios in der seeschlacht bei Cypern. Diod. XX 50.

§ 32. Anaximenes von Lampsakos.

Müller scr. r. Al. M. p. 34. (Anaximenis ars rhetorica rec. L. Spengel. Leipz. 1847. Herm. Usener, quaestiones Anaximeneae. Gött. 1856.)

Digitized by Google

Suidas: *Ἀναξιμένης Ἀριστοκλέους Λαμψακηνός, ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνὸς καὶ Ζωίλου τοῦ Ἀμφιπολίτου γραμματικοῦ τοῦ κακίζοντος Ὅμηρον, διδάσκαλος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος. εἴπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις.* § 32.

Euseb. ol. 112, 4. 329 *Ἀναξιμένης καὶ Ἐπίκουρος ἐγνωρίζετο.* Diod. XV 76 erwähnt ol. 103, 3. 366 unter den damals lebenden *ἄνδρες κατὰ παιδείαν ἄξιοι μνήμης* Anaximenes neben Aristoteles und Platon.

Dion. H. Isaeos 19 p. 626 R. *Ἀναξιμένην δὲ τὸν Λαμψακηνόν, ἐν ἁπάσαις μὲν ταῖς ἰδέαις τῶν λόγων τετράγωνόν τινα εἶναι βουλόμενον· καὶ γὰρ ἱστορίας γέγραφε καὶ περὶ τοῦ ποιητοῦ συντάξεις καταλέλοιπε καὶ τέχνας ἐξενήνοχεν, ἥπται δὲ καὶ συμβουλευτικῶν καὶ δικανικῶν ἀγώνων· οὐ μέντοι τέλειόν γε ἐν οὐδεμιᾷ τούτων τῶν ἰδεῶν, ἀλλ' ἀσθενῆ καὶ ἀπίθανον ὄντα ἐν ἁπάσαις θεωρῶν.* archaeol. I 1 tadelt D. die schmähungen des Anaximenes gegen andere schriftsteller in der einleitung seiner geschichte.

Paus. VI 18, 2 zu Olympia: *ἐνταῦθα καὶ Ἀναξιμένους οἶδα εἰκόνα ἀνευρών, ὃς τὰ ἐν Ἕλλησιν ἀρχαῖα καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου καὶ ὕστερον Ἀλέξανδρος εἰργάσαντο συνέγραψεν ὁμοίως ἅπαντα· ἡ δέ οἱ τιμὴ γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν Λαμψακηνῶν τοῦ δήμου κτέ.* § 3 — *Ἀλεξάνδρῳ τε αὐτῷ καὶ ἔτι Φιλίππῳ πρότερον γεγονότα ἐν γνώσει.* über seinen zwist mit Theopomp § 5. Müller FHG I LXXIV.

Historische schriften: *Ἑλληνικά* 12 bb., *Φιλιππικά* (cit. b. I—VIII), *τὰ περὶ Ἀλέξανδρον* (cit. b. I. II).

Diod. XV 89. ol. 104, 3. 363/2 *Ἀναξιμένης δ' ὁ Λαμψακηνὸς τὴν πρώτην τῶν Ἑλληνικῶν ἀνέγραψεν ἀρξάμενος ἀπὸ θεογονίας καὶ ἀπὸ τοῦ πρώτου γένους τῶν ἀνθρώπων, κατέστροφε δ' εἰς τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὴν Ἐπαμεινώνδου τελευτήν, περιέλαβε δὲ πάσας σχεδὸν τὰς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις ἐν βίβλοις δώδεκα.*

Athen. VI p. 231^{c} *Ἀ. δ' ὁ Λαμψακηνὸς ἐν ταῖς πρώταις ἐπιγραφομέναις ἱστορίαις τὸν Ἐριφύλης ὅρμον διαβόητον γενέσθαι (φησὶ) διὰ τὸ σπάνιον εἶναι τότε χρυσίον παρὰ τοῖς Ἕλλησιν κτέ.*

Fr. 17^{b}. Harpokr. u. *Ἀλκίμαχος . . . Μακεδὼν . . .*

Digitized by Google

§ 32. *Ἀναξιμένης δὲ ἐν τῇ β' τῶν περὶ Ἀλέξανδρον ἀνέγραψεν αὐτοῦ δημηγορίαν, πρὸς ἣν ἀντειπεῖν φησὶ Δημοσθένην.*

Βασιλέων μεταλλαγαί von A. citieren Athen. XII p. 531[d] und Steph. B. u. *Πασαργάδαι.*

§ 33. Kallisthenes von Olynth.

Müller scr. r. Al. M. p. 1. Ant. Westermann, de Callisthene comm. p. I. II 1—3. Leipz. 1838—42. 4.

Suidas: *Καλλισθένης Δημοτίμου (οἱ δὲ Καλλισθένους) Ὀλύνθιος, μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς, ὃν ἔδωκεν ἕπεσθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ὁ δὲ ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀνεῖλε ἅμα Νεόφρονι τῷ τραγικῷ, διότι συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι δεσπότης. τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα Ἀλεξάνδρῳ ἀνῃρῆσθαί φασιν ἅμα Νεόφρονι. —*

Plut. Alex. 55 *ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ (Ἀριστοτέλει) διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς ἀνεψιᾶς Ἀριστοτέλους.* 53 *τοὺς δ' ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν, ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον· φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχεν τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἐν δὲ τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις.* de stoic. repugn. 20 p. 1043[d] *Καλλισθένει τινὲς ἐγκαλοῦσιν ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν ἐλπίζων ἀναστήσειν Ὄλυνθον, ὡς Στάγειρα Ἀριστοτέλης.*

Iustin. XII 6, 17 *multum profuere Callisthenis philosophi preces, condiscipulatu apud Aristotelem familiaris illi (Alexandro) et tunc ab ipso rege ad prodenda memoriae acta eius accitus.*

Diog. L. V 4 *ἐπειδὴ δὲ ἐδόκει (Ἀριστοτέλης) ἐπιεικῶς αὐτῷ συγγεγενῆσθαι Ἀλεξάνδρῳ, ἀπῆρεν εἰς Ἀθήνας, συστήσας αὐτῷ τὸν συγγενῆ Καλλισθένη τὸν Ὀλύνθιον.*

Historische schriften: *Ἑλληνικά* 10 bb.; geschichte des phokischen kriegs; Alexanders kriegszug in Asien.

Diod. XIV 117. ol. 98, 2. 387 *Καλλισθένης δ' ὁ ἱστο-*

Digitized by Google

ριογράφος τὴν τῶν Ἑλληνικῶν σύνταξιν ἀπὸ τῆς κατὰ τοῦ- § 33.
τον τὸν ἐνιαυτὸν γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς Ἀρ-
ταξέρξην τὸν τῶν Περσῶν βασιλέα [τὴν ἱστορίαν] ἤρκται
γράφειν· διελθὼν δὲ τριακονταετῆ χρόνον ἔγραψε μὲν
βίβλους δέκα, τὴν δὲ τελευταίαν κατέπαυσε τῆς συντάξεως
εἰς τὴν ὑπὸ τοῦ Φιλομήλου τοῦ Φωκέως κατάληψιν τοῦ ἐν
Δελφοῖς ἱεροῦ. XVI 145, ol. 105, 4. 357 — *Καλλισθένης δὲ*
τὴν τῶν Ἑλληνικῶν πραγμάτων ἱστορίαν γέγραφεν ἐν βί-
βλοις δέκα καὶ κατέστροφεν εἰς τὴν κατάληψιν τοῦ ἱεροῦ καὶ
παρανομίαν Φιλομήλου τοῦ Φωκέως.

Cic. ad fam. V 12, 2 *uti multi Graeci fecerunt, Callisthenes Troicum* (*Phocicum* Westermann) *bellum, Timaeus Pyrrhi, Polybius Numantinum, qui omnes a perpetuis suis historiis ea quae dixi bella separaverunt.*

Athen. XIII 560^{bc} (fr. 18) *καὶ ὁ Κρισαϊκὸς δὲ πόλεμος*
ὀνομαζόμενος, ὥς φησι Καλλισθένης ἐν τῷ περὶ τοῦ ἱεροῦ
πολέμου, — δεκαετὴς ἦν.

Fr. 25 (Eustath. in Il. XIII 29) *Καλλισθένης τὸ Παμ-*
φύλιον πέλαγος Ἀλεξάνδρου παριόντος .... ἐξυπαναστῆναι
λέγει αἰσθόμενον οἷον τῆς ἐκείνου πορείας καὶ οὐδ' αὐτὸ
ἀγνοῆσαν τὸν ἄνακτα, ἵνα ἐν τῷ ὑποκυρτοῦσθαί πως δοκῇ
προσκυνεῖν. vgl. Plut. Alex. 17 *ἡ δὲ τῆς Παμφυλίας παρα-*
δρομὴ πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς
ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλε-
ξάνδρῳ τὴν θάλασσαν.

Timaeos schalt Kallisthenes wegen der verherlichung Alexanders (Polyb. XII 12^{a} *δικαίως δ' αὐτὸν ὑπ' Ἀλεξάν-*
δρου τετευχέναι τιμωρίας, διεφθαρκότα τὴν ἐκείνου ψυχὴν
καθ' ὅσον οἷός τ' ἦν). Polybios nimmt ihn in schutz (c. 23:
ἀποθεοῦν — ἄνδρα τοιοῦτον ὃν πάντες μεγαλοφυέστερον
ἢ κατ' ἄνθρωπον γεγονέναι τῇ ψυχῇ συγχωροῦσιν).

Die *ἀλογήματα* in Kallisthenes' beschreibung der schlacht bei Issos kritisiert Polyb. XII 17—22.

Athen. *π. μηχανημ.* p. 7, 1 Wescher (fr. 19) *ὁ μὲν γὰρ*
ἱστοριογράφος Καλλισθένης φησὶ δεῖν τὸν γράφειν τι πειρώ-
μενον μὴ ἀστοχεῖν τοῦ προσώπου, ἀλλ' οἰκείως αὐτῷ τε καὶ
τοῖς πράγμασι τοὺς λόγους θεῖναι.

Kallisthenes erzählte noch die zerstörung der stadt der Branchiden, zu welcher Bessos 329 als gefangener vor Alexander gebracht wurde.

Digitized by Google

§ 33. Über Kallisthenes' gefangenschaft und tod s. Müller a. a. o. p. 3—6. Arrian. IV 14, 3 *Καλλισθένην δὲ Ἀριστόβουλος μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῇ στρατιᾷ, ἔπειτα νόσῳ τελευτῆσαι, Πτολεμαῖος δὲ ὁ Λάγου στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. — πολλὰ δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο.*

Die citate aus angeblichen schriften von Kallisthenes in den pseudoplutarchischen schriften *περὶ ποταμῶν* und *περὶ παραλλήλων Ἑλληνικῶν καὶ Ῥωμαϊκῶν* sind fälschungen. s. R. Hercher Plut. lib. de fluviis. Leipz. 1851. praef.

Den namen des Kallisthenes trägt das in Alexandria entstandene fabelbuch über die thaten Alexanders: *Καλλισθένης ἱστοριογράφος, ὁ τὰ περὶ τῶν Ἑλλήνων συγγραψάμενος. οὗτος ἱστορεῖ Ἀλεξάνδρου πράξεις.*

Pseudo-Callisthenes primum ed. Car. Müller. Accedit itinerarium Alexandri. Paris, Didot. 1846; anhang zu Arrian. ed. Dübner. Ps.-C. nach der Leidener hdschr. hgg. v. H. Meusel. Jhb. Suppl. V. 1871. Jul. Zacher, Pseudocallisthenes. forschungen zur kritik und geschichte der ältesten aufzeichnung der Alexandersage. Halle 1867.

§ 34. Onesikritos von Astypalaea.

Müller scr. r. Al. M. p. 47.

Diog. L. VI 84 *Ὀνησίκριτος. τοῦτον οἱ μὲν Αἰγινήτην, Δημήτριος δὲ ὁ Μάγνης Ἀστυπαλαιέα φησί. καὶ οὗτος τῶν ἐλλογίμων Διογένους μαθητῶν.* Aelian. hist. anim. XVI 39 (fr. 7) *Ὀ. ὁ Ἀστυπαλαιεὺς λέγει ἐν Ἰνδοῖς κτέ.* Plut. Alex. 65 *ὁ δ' Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχολακότων.*

Onesikritos war in Alexanders gefolge und erhielt in Indien den posten des obersteuermanns des königlichen schiffes: Arrian. Ind. 18, 9 *τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὸς κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυπαλαιεύς.* Anab. VI 2, 3 *τοῦ μὲν δὴ ναυτικοῦ παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο, τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ ἤντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε καὶ τοῦτο ἐψεύσατο, ναύαρχον ἑαυτὸν εἶναι γράψας κυβερνήτην ὄντα.*

Plut. Alex. 66 *ἡγεμόνα μὲν Νέαρχον καταστήσας, ἀρχικυβερνήτην δ' Ὀνησίκριτον.* de fort. Alex. I 10 p. 331 c.

Strab. XV p. 698 (fr. 7) — *ὡς εἴρηκεν Ὀνησίκριτος, ὃν οὐκ Ἀλεξάνδρου μᾶλλον ἢ τῶν παραδόξων ἀρχικυβερνήτην προσείποι τις ἄν. πάντες μὲν γὰρ οἱ περὶ Ἀλέξανδρον τὸ θαυμαστὸν ἀντὶ ταληθοῦς ἀπεδέχοντο μᾶλλον, ὑπερβάλ-*

Digitized by Google

λεσθαι δὲ δοκεῖ τοὺς τοιούτους ἐκεῖνος τῇ τερατολογίᾳ· λέ- § 34.
γει δ' οὖν τινὰ καὶ πιθανὰ καὶ μνήμης ἄξια ὥστε καὶ ἀπιστοῦντα μὴ παρελθεῖν αὐτά.

Gellius IX 4, 3 nennt Onesikritos unter den verfassern von *libri Graeci miraculorum fabularumque pleni, res inauditae, incredulae.*

Plut. Alex. 36 λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ (306—281) τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα 'καὶ ποῦ' φάναι 'τότε ἤμην ἐγώ;'

Strab. II p. 70 ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δημαχος, τὰ δὲ δεύτερα λέγει Μεγασθένης, Ὀνησίκριτος δὲ καὶ Νέαρχος καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη. XV p. 689 ἐκ δὲ τούτων πάρεστιν ὁρᾶν ὅσον διαφέρουσιν αἱ τῶν ἄλλων ἀποφάσεις, Κτησίου μὲν οὐκ ἐλάττω τῆς ἄλλης Ἀσίας τὴν Ἰνδικὴν λέγοντος, Ὀνησικρίτου δὲ τρίτον μέρος τῆς οἰκουμένης, Νεάρχου δὲ μηνῶν ὁδὸν τεττάρων τὴν διὰ τοῦ πεδίου, Μεγασθένους δὲ καὶ Δημάχου μετριασάντων μᾶλλον.

§ 35. Berichte von befehlshabern Alexanders und seiner nachfolger.

Nearchos von Kreta. Müller scr. r. Al. M. p. 58.

Nearchos ward mit andern freunden Alexanders 337/6 von König Philipp verbannt. Alexander zeichnete ihn auf seinen kriegszügen aus und ernannte ihn zum admiral der indischen flotte. nach Alexanders tode hielt sich Nearchos zu Antigonos. zuletzt erwähnt ihn Diod. XIX 69. ol. 116, 3. 314: *Νέαρχον τὸν Κρῆτα.*

Arrian Ind. 18, 4 ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῷ παράπλῳ ἀνέγραψε. § 10 ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη Νέαρχος Ἀνδροτίμου· τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος, ᾤκεε δὲ ἐν Ἀμφιπόλει τῇ ἐπὶ Στρυμόνι. Steph. B. Ληταί, πόλις Μακεδονίας· — τὸ ἐθνικὸν Ληταῖος· ⟨ἔστι καὶ Λατὼ πόλις Κρήτης. τὸ ἐθνικὸν Λατῷος. Meineke⟩ οὕτως γὰρ ἱστορεῖται Νέαρχος Ληταῖος (Λατῷος Meineke), τῶν Ἀλεξάνδρῳ τῷ μεγάλῳ συστρατευσαμένων ὁ διασημότατος.

Digitized by Google

§ 35. Den bericht von seiner seeexpedition (*παράπλους*) scheint Nearchos später als Onesikritos herausgegeben zu haben. manches teilt Strabo b. XV. XVI daraus mit, einen auszug gibt Arrian. Indik. c. 20 ss.

Androsthenes von Thasos. Müller scr. r. Al. M. p. 72.

Androsthenes war auf der indischen flotte Alexanders und unternahm eine fahrt an die küsten Arabiens. Arrian. Ind. 18, 4 *ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· .... καὶ Ἀνδροσθένης Καλλιστράτου.* Anab. VII 20, 7 *Ἀνδροσθένης δὲ ξὺν ἄλλῃ τριακοντόρῳ σταλεὶς καὶ τῆς χερρονήσου τι τῶν Ἀράβων παρέπλευσεν.*

Athen. III p. 93^{b} *Ἀνδροσθένης δ' ἐν τῷ τῆς Ἰνδικῆς παράπλῳ γράφει οὕτως* (fr. 1). Strab. XVI p. 766 (fr. 2) *καθάπερ καὶ Ἀνδροσθένη λέγειν φησὶ (Ἐρατοσθένης) τὸν Θάσιον, τὸν καὶ Νεάρχῳ συμπλεύσαντα ...*

Patrokles. Müller FHG II 442.

Patrokles ward 312 von Seleukos mit dem commando zu Babylon betraut, war später statthalter der länder am kaspischen meere und behauptete sich im höchsten ansehen (Plutarch. Demetr. 47 *Π. ἀνὴρ συνετὸς εἶναι δοκῶν καὶ Σελεύκῳ φίλος πιστός . .*). Nach dem tode des Seleukos 280 sandte Antiochos I ihn mit einem heere nach Vorderasien: dort fiel er im Kampfe mit den Bithynern.

Patrokles beschrieb das kaspische meer. Strab. II p. 68 s. *Πατροκλῆς ὁ μάλιστα πιστεύεσθαι δίκαιος διά τε τὸ ἀξίωμα καὶ διὰ τὸ μὴ ἰδιώτης εἶναι τῶν γεωγραφικῶν. — καὶ αὐτὴ δὲ ἡ τοῦ Πατροκλέους πίστις ἐκ πολλῶν μαρτυριῶν σύγκειται, τῶν βασιλέων τῶν πεπιστευκότων αὐτῷ τηλικαύτην ἀρχήν, τῶν ἐπακολουθησάντων αὐτῷ, τῶν ἀντιδοξούντων· ... οὐδὲ τοῦτο δὲ ἀπίθανον τοῦ Πατροκλέους ὅτι φησὶ τοὺς Ἀλεξάνδρῳ συστρατεύσαντας ἐπιδρομάδην ἱστορῆσαι ἕκαστα, αὐτὸν δὲ Ἀλέξανδρον ἀκριβῶσαι, ἀναγραψάντων τὴν ὅλην χώραν τῶν ἐμπειροτάτων αὐτῷ· τὴν δ' ἀναγραφὴν αὐτῷ δοθῆναί φησιν ὕστερον ὑπὸ Ξενοκλέους τοῦ γαζοφύλακος.*

Strab. XI p. 509 *φησὶ δὲ καὶ εὔπλουν εἶναι (τὸν Ὦξον Ἀριστόβουλος), καὶ οὗτος καὶ Ἐρατοσθένης παρὰ Πατροκλέους λαβών, καὶ πολλὰ τῶν Ἰνδικῶν φορτίων κατάγειν εἰς τὴν Ὑρκανίαν θάλατταν, ἐντεῦθεν δ' εἰς τὴν Ἀλβανίαν περαιοῦσθαι καὶ διὰ τοῦ Κύρου καὶ τῶν ἐξῆς τόπων εἰς τὸν Εὔξεινον καταφέρεσθαι.* vgl. Arrian. VII 16, 3 4.

Digitized by Google

Plin. VI 17 § 58 *(India) patefacta est non modo Alexandri magni armis regumque qui successere, circumvectis etiam in Hyrcanium mare et Caspium Seleuco et Antiocho praefectoque classis eorum Patrocle, verum et aliis auctoribus Graecis qui cum regibus Indicis morati, sicut Megasthenes et Dionysius a Philadelpho missus, ... prodidere.* § 35.

Über Megasthenes und seine Indika (aus der zeit von Seleukos Nikator um 300) s. E. A. Schwanbeck, Megasthenis Indica. Bonn 1846. Müller FHG II 397; über seinen jüngeren zeitgenossen Daimachos von Plataeae II 440.

§ 36. Ephemeriden.

Chares von Mytilene war kammerherr Alexanders (*εἰσαγγελεύς* Plut. Al. 46) und schrieb als solcher *περὶ Ἀλέξανδρον ἱστορίαι* in wenigstens 10 bb. Müller scr. r. Al. M. p. 114.

Βασίλειοι ἐφημερίδες — ἃς ἀνέγραψαν Εὐμένης ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος (Athen. X p. 434 b). Müller scr. r. Al. M. 121. A. Schöne a. a. O. S. 33. E. Plew jhb. 1871, 533. Eumenes war Alexanders *ἀρχιγραμματεύς*. Plut. Eumen. 1. — *τὰ ὑπομνήματα τοῦ βασιλέως*. Diod. XVIII 4.

Über die *βηματισταί* vgl. Droysen a. a. o. I, 2 s. 383.

Die führung von hof- und reichsjournalen durch bestimmte beamte (vgl. Herod. VIII 90 die *γραμματισταί* bei der salaminischen schlacht) war bei den groszkönigen von Asien hergebracht: *γράμματα μνημόσυνα τῶν ἡμερῶν, βίβλος ὑπομνηματισμοῦ, τὰ τῶν βασιλέων ὑπομνήματα, τὰ τῶν προγόνων βιβλία*. s. Barn. Brissonius, de reg. Persar. princip. ed. Francof. 1595 p. 139. 142 s. dieselbe sitte wurde auf die makedonischen fürstenhöfe übertragen. auf die in den *ὑπομνήματα βασιλικά* enthaltenen offiziellen berichte aus Pyrrhos' feldlager beruft sich Hieronymos von Kardia fr. 8 bei Plut. Pyrrh. 21. vgl. Müller FHG II 461; über *ὑπομνήματα* des Antigonos Gonatas s. Polyaen. VI 6, 2.

§ 37. Kleitarchos.

Müller scr. r. Al. M. p. 74. Car. Raun, de Clitarcho Diodori Curtii Iustini auctore. Bonn 1868. R. Petersdorff, Diodorus, Curtius, Arrianus quibus ex fontibus expeditiones ab Al. in Asia usque ad Darii mortem factas hauserint. Danzig 1870.

Digitized by Google

§ 37. Kleitarch war Deinons sohn (§ 30), schüler Stilpons von Megara (lebte noch ol. 118, 2. 307), jünger als Theopomp Plin. NH III 57 (o. s. 62), und schrieb nach 304 (s. u. Arr. VI 11, 8) *περὶ Ἀλέξανδρον ἱστορίαι* (citate bis zum 12n b.).

Diod. II 7 (fr. 4) (die ringmauer von Babylon) — *ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρον διαβάντων εἰς τὴν Ἀσίαν τινὲς ἀνέγραψαν, τξ' καὶ ε' σταδίων.*

Plut. Alex. 46 *ἐνταῦθα δὲ πρὸς αὐτὸν (Ἀλέξανδρον) ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι καὶ Πολύκλειτος καὶ Ὀνησίκριτος καὶ Ἀντιγένης καὶ Ἴστρος· Ἀριστόβουλος δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς καὶ Πτολεμαῖος καὶ Ἀντικλείδης καὶ Φίλων ὁ Θηβαῖος καὶ Φίλιππος ὁ Θεαγγελεύς, πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς καὶ Φίλιππος ὁ Χαλκιδεὺς καὶ Δοῦρις ὁ Σάμιος πλάσμα φασὶ γεγονέναι τοῦτο.* Strab. XI p. 505 (fr. 9) *ὅπου δὲ νῦν εἰσίν (αἱ Ἀμαζόνες), ὀλίγοι τε καὶ ἀναποδείκτως καὶ ἀπίστως ἀπυφαίνονται· καθάπερ καὶ περὶ Θαληστρίας, ἣν Ἀλεξάνδρῳ συμμῖξαί φασιν ἐν τῇ Ὑρκανίᾳ καὶ συγγενέσθαι τεκνοποιίας χάριν, δυναστεύσαν τῶν Ἀμαζόνων. οὐ γὰρ ὁμολογεῖται τοῦτο· ἀλλὰ τῶν συγγραφέων τοσούτων ὄντων οἱ μάλιστα τῆς ἀληθείας φροντίσαντες οὐκ εἰρήκασιν, οὐδ' οἱ πιστευόμενοι μάλιστα οὐδενὸς μέμνηνται τοιούτου, οὐδ' οἱ εἰπόντες τὰ αὐτὰ εἰρήκασι. Κλείταρχος δέ φησι τὴν Θαληστρίαν ἀπὸ Κασπίων πυλῶν καὶ Θερμώδοντος ὁρμηθεῖσαν ἐλθεῖν πρὸς Ἀλέξανδρον. εἶσι δ' ἀπὸ Κασπίας εἰς Θερμώδοντα στάδιοι πλείους ἑξακισχιλίων.*

Athen XIII p. 576de (fr. 5) *ὁ δὲ μέγας Ἀλέξανδρος οὐ Θαΐδα εἶχε μεθ' ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησὶ Κλείταρχος ὡς αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια. αὕτη δὲ ἡ Θαῒς καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον καὶ Πτολεμαίῳ ἐγαμήθη κτέ.*

Curt. IX 5, 21 (fr. 11) *Ptolemaeum, qui postea regnavit, huic pugnae (ad oppidum Oxydracarum) affuisse auctor est Clitarchus et Timagenes. sed ipse, scilicet gloriae suae non refragatus, afuisse se missum in expeditionem memoriae tradidit. tanta componentium vetusta rerum monumenta vel securitas vel, par huic vitium, credulitas fuit.* Arr. anab. VI 11, 8 *τὸ δὲ δὴ μέγιστον πλημμέλημα τῶν ξυγγραψάντων τὰ ἀμφὶ Ἀλέξανδρον ἐκεῖνο τίθεμαι ἔγωγε. Πτολεμαῖον γὰρ τὸν Λάγου ἔστιν οὓς ἀνέγραψαν ξυναναβῆναί τε Ἀλεξάνδρῳ κατὰ τὴν*

Digitized by Google

κλίμακα ὁμοῦ Πευκέστᾳ καὶ ὑπερασπίσαι κειμένου, καὶ ἐπὶ § 37.
τῷδε Σωτῆρα ἐπικληθῆναι τὸν Πτολεμαῖον· καίτοι αὐτὸς Πτολεμαῖος ἀναγέγραφεν οὐδὲ παραγενέσθαι τούτῳ τῷ ἔργῳ, ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμενος ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἄλλους βαρβάρους.

Quint. X 1, 74 *Clitarchi probatur ingenium, fides infamatur.*

Cic. Brut. 11, 42 s. *ut enim tu nunc de Coriolano, sic Clitarchus, sic Stratocles de Themistocle finxit. nam quem Thucydides — tantum mortuum scripsit et in Attica clam humatum, addidit, fuisse suspicionem veneno sibi conscivisse mortem: hunc isti aiunt cum taurum immolavisset excepisse sanguinem patera et eo poto mortuum concidisse. hanc enim mortem rhetorice et tragice ornare potuerunt, illa mors volgaris nullam praebebat materiem ad ornatum.* de legg. I 2, 7 *Sisenna — in historia puerile quiddam consectatur, ut unum Clitarchum neque praeterea quemquam de Graecis legisse videatur, eum tamen velle dumtaxat imitari: quem si adsequi posset, aliquantum ab optimo tamen abesset.*

[Longin.] *π. ὕψους* 3, 2 *γελᾶται — καί τινα τῶν Καλλισθένους ὄντα οὐχ ὑψηλά, ἀλλὰ μετέωρα, καὶ ἔτι μᾶλλον τὰ Κλειτάρχου· φλοιώδης γὰρ ἀνὴρ καὶ φυσῶν κατὰ τὸν Σοφοκλέα 'μικροῖς μὲν αὐλίσκοισι, φορβειᾶς δ' ἄτερ'.*

Auf Kleitarch beruht im wesentlichen die erzählung der geschichte Alexanders bei Diodor Justin Q. Curtius Rufus; auch Plutarch hat ihn vielfach benutzt.

§ 38. Ptolemaeos und Aristobulos.

Müller scr. r. Al. M. p. 87. 94.

Arrian. anab. prooem. *Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος ὁ Ἀριστοβούλου ὅσα μὲν ταὐτὰ ἄμφω περὶ Ἀλεξάνδρου τοῦ Φιλίππου ξυνέγραψαν, ταῦτα ἐγὼ ὡς πάντη ἀληθῆ ἀναγράφω, ὅσα δὲ οὐ ταὐτά, τούτων τὰ πιστότερα ἐμοὶ φαινόμενα καὶ ἅμα ἀξιαφηγητότερα ἐπιλεξάμενος. ἄλλοι μὲν δὴ ἄλλα ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψαν, οὐδ' ἔστιν ὑπὲρ ὅτου πλείονες ἢ ἀξυμφωνότεροι ἐς ἀλλήλους· ἀλλ' ἐμοὶ Πτολεμαῖός τε καὶ Ἀριστόβουλος πιστότεροι ἔδοξαν ἐς τὴν ἀφήγησιν, ὁ μὲν ὅτι ξυνεστράτευσε βασιλεῖ Ἀλεξάνδρῳ, Ἀριστόβουλος· Πτολεμαῖος δὲ πρὸς τῷ ξυστρατεῦσαι ὅτι καὶ αὐτῷ βασιλεῖ ὄντι αἰσχρότερον ἢ τῷ ἄλλῳ ψεύσασθαι ἦν· ἄμφω*

Digitized by Google

§ 38. *δέ, ὅτι τετελευτηκότες ἤδη Ἀλεξάνδρου ξυγγράφουσιν αὐτοῖς ἥ τε ἀνάγκη καὶ ὁ μισθὸς τοῦ ἄλλως τι ἢ ὡς ξυνηνέχθη ξυγγράψαι ἀπῆν. ἔστι δὲ ἃ καὶ πρὸς ἄλλων ξυγγεγραμμένα, ὅτι καὶ αὐτὰ ἀξιαφήγητά τέ μοι ἔδοξε καὶ οὐ πάντη ἄπιστα, ὡς λεγόμενα μόνον ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψα.* vgl. VI 28, 2.

VII 26, 3 . . *Ἀλέξανδρον . . . ἀποθανεῖν . . . . . , οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλῳ οὔτε Πτολεμαίῳ ἀναγέγραπται.*

Ptolemaeos I nahm 306 den königlichen titel an und † 283.

Ein wunder erzählte Ptolemaeos bei Alexanders zuge zum Ammonion: Arr. III 3, 5 (fr. 7) *Πτολεμαῖος μὲν δὴ ὁ Λάγου λέγει δράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος φωνὴν ἱέντας, καὶ τούτοις Ἀλέξανδρον κελεῦσαι ἕπεσθαι τοὺς ἡγεμόνας πιστεύσαντας τῷ θείῳ. τοὺς δὲ ἡγήσασθαι τὴν ὁδὸν τήν τε ἐς τὸ μαντεῖον καὶ ὀπίσω αὖθις· Ἀριστόβουλος δὲ κτέ.* vgl. dazu Diod. XX 100. ol. 119, 1 304/3 (*οἱ Ῥόδιοι*) *θεωροὺς ἀπέστειλαν εἰς Λιβύην τοὺς ἐπερωτήσοντας τὸ παρ' Ἄμμωνι μαντεῖον εἰ συμβουλεύει Ῥοδίοις Πτολεμαῖον ὡς θεὸν τιμῆσαι. συγκατατιθεμένου δὲ τοῦ χρηστηρίου κτέ.* Paus. I 8, 6 *τὸν — τοῦ Λάγου Σωτῆρα (καλοῦσι) παραδόντων Ῥοδίων τὸ ὄνομα.* vgl. o. s. 72 f.

Aristobulos von Kasandreia.

[Lukian.] Makrob. 22 *Ἀριστόβουλος δ' ὁ Κασανδρεὺς ὑπὲρ τὰ ϛ' ἔτη λέγεται βεβιωκέναι, τὴν ἱστορίαν δὲ δ' καὶ π' ἔτος γεγονὼς ἤρξατο συγγράφειν, ὡς αὐτὸς ἐν ἀρχῇ τῆς πραγματείας λέγει.* Plutarch. Dem. 23. Athen. II p. 43[d]. VI p. 251[a] *Ἀ. ὁ Κασανδρεύς.* Kasandreia ward ol. 116, 1. 316 von Kasandros an der stelle der von Philipp II zerstörten stadt Potidaea erbaut. Aristobulos schrieb Alexanders geschichte nach der schlacht bei Ipsos 301. Arrian. VII 18, 5.

§ 39. Hieronymos von Kardia.

Müller FHG II 450. C. A. F. Brückner de vita et scriptis Hier. Card. z. f. d. aw. 1842 p. 253. Fr. Reuss, Hieronymos von Kardia. Berl. 1876.

Suidas: *Ἱερώνυμος Καρδιανός, ὃς τὰ ἐπ' Ἀλεξάνδρῳ πραχθέντα συνέγραψεν.*

Digitized by Google

[Lukian.] Makrob. 22 *Ἱερώνυμος δὲ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἔζησεν ἔτη δ' καὶ ρ', ὡς Ἀγαθαρχίδης ἐν τῇ Θ' τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει* (FHG III 196, 17), *καὶ θαυμάζει γε τὸν ἄνδρα ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις, μηδενὸς γενόμενον τῶν πρὸς ὑγίειαν ἐλλιπῆ.* § 39.

Diod. XVIII 42 ol. 114, 3. 322 *ὁ Εὐμένης πρὸς τὸν Ἀντίπατρον πρεσβευτὰς ἀπέστειλε περὶ τῶν ὁμολογιῶν, ὧν ἦν ἡγούμενος Ἱερώνυμος ὁ τὰς τῶν διαδόχων ἱστορίας γεγραφώς.* 50 ol. 115, 2. 319 *(Ἀντίγονος) Ἱερώνυμον — τὸν τὰς ἱστορίας γράψαντα μετεπέμψατο, φίλον ὄντα καὶ πολίτην Εὐμένους τοῦ Καρδιανοῦ.* XIX 44 ol. 116, 1. 315 *ἀνήχθη δ' ἐν τοῖς τραυματίαις αἰχμάλωτος καὶ ὁ τὰς ἱστορίας συνταξάμενος Ἱερώνυμος ὁ Καρδιανός, ὃς τὸν μὲν ἔμπροσθεν χρόνον ὑπ' Εὐμένους τιμώμενος διετέλεσε, μετὰ δὲ τὸν ἐκείνου θάνατον ὑπ' Ἀντιγόνου ἐτύγχανε φιλανθρωπίας καὶ πίστεως.*

Hieronymos war im heere des Antigonos bei Ipsos 301 (Makrob. 11) und hielt sich später zu dessen sohne Demetrios und zu Antigonos Gonatas. sein geschichtswerk wird citiert u. d. t. *αἱ τῶν διαδόχων ἱστορίαι*, der spätere teil desselben, in welchem Pyrrhos' krieg in Italien und sein tod (272) erzählt war, von Dionys. arch. I 6 p. 16: *πρώτου μὲν — τὴν Ῥωμαϊκὴν ἀρχαιολογίαν ἐπιδραμόντος Ἱερωνύμου τοῦ Καρδιανοῦ συγγραφέως ἐν τῇ περὶ τῶν ἐπιγόνων πραγματείᾳ.* vgl. H. Usener Rh. mus. XXIX 36, 2. Plutarch im leben des Pyrrhos hat die zuverlässigsten berichte aus Hieronymos.

Paus. I 9, 8 *τὰ δὲ ἐντεῦθεν ἐμοὶ ἐστιν οὐ πιστά, Ἱερώνυμος δὲ ἔγραψε Καρδιανός, Λυσίμαχον τὰς θήκας τῶν νεκρῶν ἀνελόντα τὰ ὀστᾶ ἐκρῖψαι. ὁ δὲ Ἱερώνυμος οὗτος ἔχει μὲν καὶ ἄλλως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων πλὴν Ἀντιγόνου, τούτῳ δὲ οὐ δικαίως χαρίζεσθαι· τὰ δὲ ἐπὶ τοῖς τάφοις τῶν Ἠπειρωτῶν παντάπασίν ἐστι φανερὸς ἐπηρείᾳ συνθείς, ἄνδρα Μακεδόνα θήκας νεκρῶν ἀνελεῖν. — τῷ δὲ Ἱερωνύμῳ τάχα μέν που καὶ ἄλλα ἦν ἐς Λυσίμαχον ἐγκλήματα, μέγιστον δέ, ὅτι τὴν Καρδιανῶν πόλιν ἀνελὼν Λυσιμάχειαν ἀντ' αὐτῆς ᾤκισεν ἐπὶ τῷ ἰσθμῷ τῆς Θρᾳκίας Χερρονήσου.* c. 13, 9 von Pyrrhos' tode *διάφορα δὲ ὅμως ἐστὶ καὶ ταῦτα ὧν Ἱερώνυμος ὁ Καρδιανὸς ἔγραψεν·*

Digitized by Google

§ 39. ἀνδρὶ γὰρ βασιλεῖ συνόντα ἀνάγκη πᾶσα ἐς χάριν συγγράφειν. εἰ δὲ καὶ Φίλιστος αἰτίαν δικαίαν εἴληφεν — ἀποκρύψασθαι τῶν Διονυσίου τὰ ἀνοσιώτατα, ἢ που πολλή γε Ἱερωνύμῳ συγγνώμη τὰ ἐς ἡδονὴν Ἀντιγόνου γράφειν.

Dionys. de compos. verb. 4 p. 29 s. τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ ἐπίδοσις ἦν αὐτοῦ (τοῦ συντιθέναι δεξιῶς τὰ ὀνόματα). παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα καὶ τὰ μέλη καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι, πλὴν ὀλίγων· χρόνῳ δ' ὕστερον παντάπασιν ἠμελήθη, καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω καὶ Δοῦριν καὶ Πολύβιον καὶ Ψάωνα καὶ τὸν Καλλατιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίγονον καὶ Ἡρακλείδην καὶ Ἡγησιάνακτα (cod. Paris.) καὶ ἄλλους μυρίους.

§ 40. Fortsetzungen der allgemeinen geschichte des Ephoros.

Demophilos s. § 28 s. 54.

Diyllos von Athen. Psaon von Plataeae.

Müller FHG II 360. III 198.

Diod. XVI 14 ol. 105, 4. 357/6. Δίυλλος δ' ὁ Ἀθηναῖος ἤρκται τῆς ἱστορίας ἀπὸ τῆς ἱεροσύλεως, καὶ γέγραφε βίβλους κ' καὶ ξ', συμπεριλαβὼν πάσας τὰς ἐν τοῖς χρόνοις τούτοις γενομένας πράξεις περί τε τὴν Ἑλλάδα καὶ τὴν Σικελίαν.

XVI 76 ol. 109, 4. 341/0. Δίυλλος δ' ὁ Ἀθηναῖος τῆς δευτέρας συντάξεως ἀρχὴν πεποίηται τῆς Ἐφόρου ἱστορίας τὴν τελευτήν, καὶ τὰς ἑξῆς πράξεις συνείρει τάς τε τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων μέχρι τῆς Φιλίππου τελευτῆς.

XXI fr. 5 p. 490 W. (ca. ol. 120, 2—121, 1. 299—295) ὅτι Δίυλλος Ἀθηναῖος συγγραφεὺς τὰς κοινὰς πράξεις συντάξας ἔγραψε βιβλία κ̣ζ̣', Ψάων δὲ Πλαταιεὺς τὰς ἀπὸ τούτου διαδεξάμενος πράξεις ἔγραψε βιβλία λ'.

Plut. de Herod. mal. 26 p. 762ᵇ ἀνὴρ Ἀθηναῖος οὐ τῶν παρημελημένων ἐν ἱστορίᾳ Δίυλλος.

Diyllos schrieb ein buch zur ergänzung, 26 bb. zur fortsetzung der allgemeinen geschichte des Ephoros, bis zum tode Philippos IV, des sohnes von Kasandros, ol. 120, 4. 296. vgl. hist. zeitschr. XVIII 173.

Digitized by Google

Psaon wird wegen seiner gezierten schreibweise getadelt von Dionys. de compos. verb. 4 p. 30 u. Deinarch. 8 p. 646. § 40.

§ 41. ΑΤΘΙΔΕΣ.

Müller FHG I LXXXII—XCI. 359—427. Philochori fragm. a Lenzio coll. dig. C. Godofr. Siebelis. Acc. Androtionis *Ἀτθίδος* reliquiae. Leipz. 1811. Phanodemi Demonis Clitodemi atque Istri fr. coll. Lenzius, dig. Siebelis. 1812.

Dionys. Arch. I 8 p. 23 *σχῆμα δὲ ἀποδίδωμι τῇ πραγματείᾳ οὔτε .... οὔτε ταῖς χρονικαῖς παραπλήσιον, ἃς ἐξέδωκαν οἱ τὰς Ἀτθίδας πραγματευσάμενοι· μονοειδεῖς γὰρ ἐκεῖναί τε καὶ ταχὺ προσιστάμεναι τοῖς ἀκούουσιν.*

Über die Atthis des Hellanikos s. § 16 s. 17.

Kleidemos.

Paus. X 15, 5 *Κλει[τό]δημος δέ, ὁπόσοι τὰ Ἀθηναίων ἐπιχώρια ἔγραψαν ὁ ἀρχαιότατος, οὗτος ἐν τῷ λόγῳ φησὶ τῷ Ἀττικῷ, ὅτε Ἀθηναῖοι παρεσκευάζοντο ἐπὶ Σικελίᾳ τὸν στόλον ..... Ἀθηναίοις μὲν δὴ καὶ ἄλλα σημεῖα μὴ ἐκπλεῦσαι σφᾶς ἀπαγορεύοντα ἐς Σικελίαν διηγήσατο ὁ Κλει[τό]δημος.*

Plut. de glor. Athen. 1 p. 345e *Ξενοφῶν μὲν γὰρ αὐτὸς ἑαυτοῦ γέγονεν ἱστορία, γράψας ἃ ἐστρατήγησε καὶ κατώρθωσεν —· οἱ δ' ἄλλοι πάντες ἱστορικοί, Κλείδημοι Δίυλλοι Φιλόχοροι Φύλαρχοι, ἀλλοτρίων γεγόνασιν ἔργων ὥσπερ δραμάτων ὑποκριταί, τὰς τῶν στρατηγῶν καὶ βασιλέων πράξεις διατιθέμενοι.*

Kleidemos gieng von den ältesten zeiten aus. fr. 8. gedenkt der seit ol. 100, 3. 378/7 bestehenden *συμμορίαι*. vgl. Böckh seew. s. 182. Hesych. u. *Ἀγαμεμνόνια φρέατα* citiert *Κλείδημος ἐν τῇ ιβ' τῆς Ἀτθίδος*.

Neben der Atthis werden von Kleidemos *Πρωτογόνεια, ἐξηγητικός, νόστοι* angeführt.

Androtion von Athen.

vgl. Demosth. u. s. z. I 316. 351.

Suidas: *Ἀνδροτίων Ἀνδρωνος Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, μαθητὴς Ἰσοκράτους.*

Digitized by Google

§ 41. Zosim. 1. des Isokr. p. 256 s. West. *ἔσχε δὲ μαθητὰς — Ἀνδροτίωνα τὸν τὴν Ἀτθίδα γράψαντα, καθ' οὗ καὶ ὁ Δημοσθένης ἔγραψε* (R. XXII. XXIV. 355. 352 v. Chr.).

Androtion verfaszte ol. 108, 2. 346 den volksbeschlusz zu ehren der söhne Leukons von Bosporos. Rhein. mus. XXXIII 418.

Plutarch. de exilio 14 p. 605[c] *καὶ γὰρ τοῖς παλαιοῖς ὡς ἔοικεν αἱ Μοῦσαι τὰ κάλλιστα τῶν συνταγμάτων καὶ θοκιμώτατα φυγὴν λαβοῦσαι συνεργὸν ἐπετέλεσαν. — — — Ἀνδροτίων Ἀθηναῖος ἐν Μεγάροις —.*

Schol. Aristid. III s. 485 Df. u. v. Wilamowitz, de Rhesi scholiis disputatiuncula. Greifsw. 1877. 4. s. 13 *τῶν δέκα στρατηγῶν τῶν ἐν Σάμῳ τὰ ὀνόματα κατὰ Ἀνδροτίωνα· Σωκράτης Ἀναγυράσιος, Σοφοκλῆς ἐκ Κολωνοῦ ὁ ποιητής, Ἀνδοκίδης Κυδαθηναιεύς, Κρέων Σκαμβωνίδης, Περικλῆς Χολαργεύς, Γλαύκων ἐκ Κεραμέων, Καλλίστρατος Ἀχαρνεύς, Ξενοφῶν Μελιτεύς, Γλαυκέτης Ἀζηνιεύς, Κλειτοφῶν Θοραιεύς.*

Fragm. v. ol. 93, 1. 408 (aus dem III buche): *Εὐκτήμων Κυδαθήναιος. ἐπὶ τούτου πρέσβεις ἦλθον ἀπὸ Λακεδαίμονος κτέ.* Usener i. d. jhrb. 1871, 311.

Das 12. buch der Atthis citiert Harpokration u. *Ἀμφίπολις.* sie reichte wenigstens bis ol. 108, 3. 346: Harp. u. *διαψήφισις· — ἐντελέστατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γεγόνασιν ἐπὶ Ἀρχίου ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι καὶ Φιλόχορος ἐν ς' τῆς Ἀτθίδος.* die ziffer des buchs von Androtions Atthis ist ausgefallen.

Phanodemos.

Steph. *Ἶκος, νῆσος τῶν Κυκλάδων προσεχὴς τῇ Εὐβοίᾳ — ἔγραψε δὲ Φανόδημος Ἰκιακά.*

Von der *Ἀτθίς* wird das 9. buch citiert (fr. 6). fr. 18 (Plut. Kim. 19) handelt vom tode Kimons.

Dionys. arch. I 61 p. 156 (fr. 8) *Φανόδημος ὁ τὴν Ἀττικὴν γράψας ἀρχαιολογίαν.*

Fr. 7 (Procl. schol. zu Plat. Tim. 11[e] I p. 30) *τοὺς δὲ Ἀθηναίους Καλλισθένης μὲν καὶ Φανόδημος πατέρας τῶν Σαΐτων ἱστοροῦσι γενέσθαι.*

Athen. IV p. 168[a] (fr. 15) *Φανόδημος καὶ Φιλόχορος.*

Digitized by Google

Demon.

Ob der neffe des Demosthenes oder ein jüngerer gl. n. § 41.
aus derselben familie? vgl. Dem. u. s. z. III^{b} 56 s. gegen
ihn schrieb Philochoros.

Ἀτθίς. περὶ παροιμιῶν. περὶ θυσιῶν.

Philochoros von Athen.

Böckh, über den plan der Atthis des Philochoros. 1832. (kl. schr. V 397).
Jul. Strenge, quaestiones Philochoreae. Gött. 1868.

Suidas: *Φιλόχορος Κύκνου Ἀθηναῖος, μάντις καὶ ἱεροσκόπος. γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένη. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. ἔγραψεν Ἀτθίδος βιβλία ιζ΄· περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ ⟨τοὺς⟩ βασιλεῖς καὶ ἄρχοντας ἕως Ἀντιόχου τοῦ τελευταίου τοῦ προσαγορευθέντος Θεοῦ, ἔστι δὲ πρὸς Δήμωνα. περὶ μαντικῆς δ΄, περὶ θυσιῶν α΄, περὶ τῆς τετραπόλεως, Σαλαμῖνος κτίσιν, ἐπιγράμματα Ἀττικά, περὶ τῶν Ἀθήνησιν ἀγώνων [βιβλία ιζ΄], περὶ τῶν Ἀθήνησιν ἀρξάντων ἀπὸ Σωκρατίδου* (ol. 101, 3. 374) *καὶ μέχρι Ἀπολλοδώρου* (ol. 107, 3. 350 oder 115, 2. 319), *ὀλυμπιάδας ἐν βιβλίοις β΄, πρὸς τὴν Δήμωνος Ἀτθίδα, ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος, ἐπιτομὴν τῆς Διονυσίου πραγματείας περὶ ἱερῶν, περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε΄, περὶ Εὐριπίδου, περὶ Ἀλκμᾶνος, περὶ μυστηρίων τῶν Ἀθήνησι, συναγωγὴν ἡρωίδων ἤτοι Πυθαγορείων γυναικῶν, Δηλιακὰ βιβλία β΄, περὶ εὑρημάτων, περὶ καθαρμῶν, περὶ συμβόλων.*

Ol. 118, 3. 306 bekleidete Philochoros schon das amt eines *ἱεροσκόπος*: fr. 146 b. Dionys. Dein. 3 p. 637. seine ermordung geschah, nachdem im chremonideischen kriege (ol. 129, 3. 261) Antigonos Gonatas Athen erobert hatte. mit demselben jahre begann die regierung des königs Antiochos II Theos von Syrien († 247).

Philochorps' hauptwerk war die *Ἀτθίς* in 17 bb.

Buch I—VI (von den ältesten zeiten, sicher bis ol. 110, 2. 338: wie weit über dieses jahr hinaus ist ungewis) scheint Philochoros als ein abgeschlossenes werk (*πρὸς Δήμωνα*)

Digitized by Google

§ 41. herausgegeben zu haben. in den folgenden büchern führte er die geschichte Athens bis zu seinem todesjahre fort.

VII enthielt noch die verwaltung des Demetrios von Phaleron (ol. 115, 4—118, 1. 317—308).

VIII schlosz mit ol. 118, 2. 307/6.

IX enthielt ol. 118, 3—119, 2. 306—302.

X—XVII ol. 119, 3—129, 3. 302—262/1.

Eine *ἐπιτομὴ τῆς Φιλοχόρου Ἀτθίδος* fertigte Asinius Pollio von Tralles an (Suidas u. *Πωλίων ὁ Ἀσίνιος*).

Auszer den titeln bei Suidas werden als schriften von Philochoros angeführt *ἡ πρὸς Ἄλυπον ἐπιστολή, περὶ ἑορτῶν, περὶ ἡμερῶν, περὶ τραγῳδιῶν.*

Krateros.

Müller FHG. II 617. Stephani Byzantii ethnicorum quae supersunt ex rec. Aug. Meinekii I. Berl. 1849. epim. I p. 714. vgl. Niebuhr kl. hist. schr. I 225[n]. Böckh sth. II 369. nachtr. VII. Cobet Mn. n. I 97.

Krateros, sohn des feldherrn Krateros und der Phila, halbbruder des königs Antigonos Gonatas, gab eine *συναγωγὴ ψηφισμάτων* heraus.

Das 9. buch enthielt auszüge aus den attischen tributlisten.

Plut. Arist. 26. *Κρατερὸς δ' ὁ Μακεδὼν τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. — — καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος ὡς ὅτε τοὺς φόρους ἔταττε παρὰ τῶν Ἰώνων χρήματα λαβόντος, ἐκτῖσαι δ' οὐκ ἔχοντα τὴν καταδίκην ν' μνῶν οὖσαν ἐκπλεῦσαι καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν. τούτων δ' οὐδὲν ἔγγραφον ὁ Κρατερὸς τεκμήριον παρέσχηκεν, οὔτε δίκην οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας.*

Plut. Kim. 13 von dem frieden des Kallias: *ἐν δὲ τοῖς ψηφίσμασιν ἃ συνήγαγε Κρατερὸς ἀντίγραφα συνθηκῶν ὡς γενομένων κατατέτακται.*

§ 42. Duris von Samos.

Müller FHG II 466. Duridis Samii quae supersunt ed. I. G. Hullemann. Utrecht 1841. Gdfr. Eckertz, de Duride Samio. Bonn 1842. Aug. Haake, de Duride S. Diodori auctore. Bonn 1874. A. F. Rösiger, de Duride S. Diod. S. et Plutarchi auctore. Gött. 1874. Ed. Rössler de Duride Diodori, Hieronymo Duridis auctore. Gött. 1876.

Digitized by Google

Diod. XV 60 ol. 102, 3. 370 *Δοῦρις δ' ὁ Σάμιος* [ὁ] § 42. *ἱστοριογράφος τῆς τῶν Ἑλληνικῶν ἱστορίας ἐντεῦθεν ἐποιήσατο τὴν ἀρχήν.*

Suidas: *Λυγκεὺς Σάμιος, γραμματικός, Θεοφράστου γνώριμος, ἀδελφὸς Δούριδος τοῦ ἱστοριογράφου τοῦ καὶ τυραννήσαντος Σάμου. σύγχρονος δὲ γέγονεν ὁ Λυγκεὺς Μενάνδρου τοῦ κωμικοῦ* († 292), *⟨ᾧ⟩ καὶ ἀντεπεδείξατο κωμῳδίᾳς καὶ ἐνίκησεν.*

Athen. IV p. 128[a] *Ἱππόλοχος ὁ Μακεδὼν — τοῖς χρόνοις μὲν γέγονε κατὰ Λυγκέα καὶ Δοῦριν τοὺς Σαμίους, Θεοφράστου δὲ τοῦ Ἐφεσίου μαθητάς.* VIII p. 337[d] *Λυγκεὺς δ' ὁ Σάμιος, ὁ Θεοφράστου μὲν μαθητής, Δούριδος δὲ ἀδελφὸς τοῦ τὰς ἱστορίας γράψαντος καὶ τυραννήσαντος τῆς πατρίδος.*

Plut. Alkib. 32 (fr. 64) *ἃ δὲ Δοῦρις ὁ Σάμιος, Ἀλκιβιάδου φάσκων ἀπόγονος εἶναι, προστίθησι τούτοις . . . οὔτε Θεόπομπος οὔτ' Ἔφορος οὔτε Ξενοφῶν γέγραφεν· οὔτ' εἰκὸς ἦν κτέ.*

Ders. Perikl. 28 (fr. 60) *Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν οὔτ' Ἔφορος οὔτ' Ἀριστοτέλης· ἀλλ' οὐδ' ἀληθεύειν ἔοικεν —. Δοῦρις μὲν οὖν, οὐδ' ὅπου μηδὲν αὐτῷ πρόσεστιν ἴδιον πάθος εἰωθὼς κρατεῖν τὴν διήγησιν ἐπὶ τῆς ἀληθείας, μᾶλλον ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ διαβολῇ τῶν Ἀθηναίων.*

Phot. bibl. cod. 176 p. 121[a], 41 *Δοῦρις μὲν οὖν ὁ Σάμιος ἐν τῇ πρώτῃ τῶν αὐτοῦ ἱστοριῶν οὕτω φησίν Ἔφορος δὲ καὶ Θεόπομπος τῶν γενομένων* (*προγενομένων* Casaubonus) *πλεῖστον ἀπελείφθησαν. οὔτε γὰρ μιμήσεως μετέλαβον οὐδεμιᾶς οὔτε ἡδονῆς ἐν τῷ φράσαι, αὐτοῦ δὲ τοῦ γράφειν μόνον ⟨τὰ γενόμενα?⟩ ἐπεμελήθησαν'. καίτοι Δοῦρις καὶ τῆς ἐν αὐτοῖς τούτοις οἰκονομίας, οἷς αἰτιᾶται, πολλὰ τῶν ἀνδρῶν λειπόμενος.*

Cic. ad Att. VI 1, 18 *Duris Samius, homo in historia diligens.* Dionys. de comp. verb. 4 p. 30 findet ihn unlesbar.

Die *Ἱστορίαι* (auch als *Ἑλληνικά* und als *Μακεδονικά* citiert) wurden von Diodor und Plutarch benutzt.

Fr. 40 b. Diod. XXI fr. 6 p. 490 W. handelt von der schlacht bei Sentinum 295 v. Chr.: *ὅτι ἐπὶ τοῦ πολέμου τῶν Τυρρηνῶν καὶ Γαλατῶν καὶ Σαμνιτῶν καὶ τῶν ἑτέρων*

Digitized by Google

§ 42. *συμμάχων ἀνῃρέθησαν ὑπὸ Ῥωμαίων Φαβίου ὑπατεύοντος δέκα μυριάδες, ὥς φησι Δοῦρις.*

Fr. 33 b. Plin. NH. VIII 143 betrifft den tod des königs Lysimachos 281.

Ferner schrieb Duris *Σαμίων ὧροι, τὰ περὶ Ἀγαθοκλέα* († 289), u. a. m.

§ 43. Sicilische geschichte.

Athanis von Syrakus.

Müller FHG II 81. I. Fr. Jul. Arnoldt, de Athana. Gumbinn. 1846. 4. Ders. Timoleon. G. 1850 p. 12.

Diod. XV 94 ol. 104, 3. 362 *τῶν δὲ συγγραφέων Ἀθάνας ὁ Συρακόσιος τῶν περὶ Δίωνα πράξεων ἐντεῦθεν ἀρξάμενος ἔγραψε μὲν βίβλους ιγ', προσανέλαβε δὲ τὸν ἄγραφον χρόνον ἐτῶν ζ' ἀπὸ τῆς Φιλίστου συντάξεως ἐν μιᾷ βίβλῳ καὶ διελθὼν τὰς πράξεις ἐν κεφαλαίοις συνεχῆ τὴν ἱστορίαν ἐποίησεν.*

Philistos' sicilische geschichte endete mit ol. 104, 2. 363/2 (§ 23 s. 40). das 1. buch von Athanis umfaszte die sieben ferneren jahre des jüngeren Dionysios bis zu dessen vertreibung durch Dion ol. 106, 1. 356.

Athen. III p. 98^{d} citiert *Ἄθανις ἐν πρώτῳ Σικελικῶν* über Dionysios; Plutarch im leben Timoleons 23, 37 *Ἄθανις*.

Theopomp. XL fr. 212 *προστάται δὲ τῆς πόλεως ἦσαν τῶν μὲν Συρακοσίων Ἄθηνις καὶ Ἡρακλείδης, τῶν δὲ μισθοφόρων Ἀρχέλαος ὁ Δυμαῖος* (ol. 106, 1. 356).

Kallias und Antandros von Syrakus.

Müller FHG II 382.

Τὰ περὶ Ἀγαθοκλέα.

Diod. XXI fr. 16, 5 p. 492 W. *Ἀγαθοκλῆς — πρέπουσαν ἔσχε τῇ παρανομίᾳ τὴν τοῦ βίου καταστροφήν, δυναστεύσας μὲν ἔτη β' τῶν λ' λείποντα, βιώσας δὲ β' πρὸς τοῖς ο' ἔτη, καθὼς Τίμαιος ὁ Συρακόσιος συγγράφει, καὶ Καλλίας καὶ αὐτὸς Συρακόσιος κβ' βίβλους συγγράψας, καὶ Ἄνταν-δρος ὁ ἀδελφὸς Ἀγαθοκλέους καὶ αὐτὸς συγγραφεύς.*

Ebend. fr. 17, 4 p. 561 *ὅτι καὶ Καλλίας ὁ Συρακόσιος δικαίως καὶ προσηκόντως κατηγορίας ἀξιωθείη. ἀναληφθεὶς γὰρ ὑπ' Ἀγαθοκλέους καὶ δώρων μεγάλων ἀποδόμενος τὴν προφῆτιν τῆς ἀληθείας [ἱστορίαν], οὐ διαλέλοιπεν ἀδίκως*

Digitized by Google

ἐγκωμιάζων τὸν μισθοδότην. οὐκ ὀλίγων γὰρ αὐτῷ πεπραγμένων πρὸς ἀσεβείας θεῶν καὶ παρανομίας ἀνθρώπων φησὶν ὁ συγγραφεὺς αὐτὸν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ πολὺ τοὺς ἄλλους ὑπερβεβληκέναι. καθόλου δέ, καθάπερ Ἀγαθοκλῆς ἀφαιρούμενος τὰ τῶν πολιτῶν ἐδωρεῖτο τῷ συγγραφεῖ μηδὲν προσήκοντα παρὰ τὸ δίκαιον, οὕτως ὁ θαυμαστὸς ἱστοριογράφος ἐχαρίζετο διὰ τῆς γραφῆς ἅπαντα τἀγαθὰ τῷ δυνάστῃ. ῥᾴδιον δ' ἦν, οἶμαι, πρὸς ἅμειψιν χάριτος τῷ γραφεῖ τῶν ἐγκωμίων μὴ λειφθῆναι τῆς ἐκ τοῦ βασιλικοῦ γένους δωροδοκίας. § 43.

Dionys. arch. I 72 p. 182 (fr. 5) *Καλλίας δ' ὁ τὰς Ἀγαθοκλέους πράξεις ἀναγράψας Ῥώμην τινὰ Τρωάδα τῶν ἀφικνουμένων ἅμα τοῖς ἄλλοις Τρωσὶν εἰς Ἰταλίαν γήμασθαι Λατίνῳ τῷ βασιλεῖ τῶν Ἀβοριγίνων καὶ γεννῆσαι τρεῖς παῖδας, Ῥῶμον καὶ Ῥωμύλον καὶ Τηλέγονον· ⟨καὶ τοῦτον μὲν μεταναστῆναι, Ῥῶμον δὲ καὶ Ῥωμύλον ὑπομεῖναι,⟩ οἰκίσαντας δὲ πόλιν, ἀπὸ τῆς μητρὸς αὐτῇ θέσθαι τοὔνομα.*

§ 44. Timaeos von Tauromenion.

Müller FHG I xlix. 193. Jul. Arnoldt, de historiis Timaei opinionum ab editore Parisino conceptarum refutatio. Gumbinn. 1841. 4. Jul. Beloch, die ökonomie der gesch. des Timaeos, jhb. 1881 s. 697.

Suidas: *Τίμαιος Ἀνδρομάχου Ταυρομενίτης, ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν· Φιλίσκου μαθητὴς τοῦ Μιλησίου. παρωνόμαστο δὲ τοῦτο διὰ τὸ πολλὰ ἐπιτιμᾶν, καὶ Γραοσυλλέκτρια δὲ διὰ τὸ τὰ τυχόντα ἀναγράφειν. ἔγραψεν Ἰταλικὰ καὶ Σικελικὰ ἐν βιβλίοις ἡ', Ἑλληνικὰ καὶ Σικελικὰ [συλλογὴν ῥητορικῶν ἀφορμῶν] βιβλία ξή', ὀλυμπιονίκας ἤτοι χρονικὰ πραξίδια.* —

Athen. VI p. 272^{b} *Τίμαιος δ' ὁ Ταυρομενίτης — ἔφη —· αὐτὸς εἰπὼν ὁ Ἐπιτίμαιος, οὕτως δ' αὐτὸν καλεῖ Ἴστρος ὁ Καλλιμάχειος ἐν ταῖς πρὸς αὐτὸν ἀντιγραφαῖς.*

Diod. V 1 *Τίμαιος μὲν οὖν μεγίστην πρόνοιαν πεποιημένος τῆς τῶν χρόνων ἀκριβείας καὶ τῆς πολυπειρίας πεφροντικώς, διὰ τὰς ἀκαίρους καὶ πικρὰς ἐπιτιμήσεις εὐλόγως διαβάλλεται, καὶ διὰ τὴν ὑπερβολὴν τῆς ἐπιτιμήσεως Ἐπιτίμαιος ὑπό τινων ὠνομάσθη.*

Diod. XVI 7 ol. 105, 3. 357 *Ἀνδρόμαχος ὁ Ταυρομενίτης, Τιμαίου μὲν τοῦ τὰς ἱστορίας συγγράψαντος πατὴρ ὤν, πλούτῳ δὲ καὶ ψυχῆς λαμπρότητι διαφέρων, ἤθροισε τοὺς*

Digitized by Google

§ 44. *ἐκ τῆς Νάξου τῆς κατασκαφείσης ὑπὸ Διονυσίου περιλειφθέντας, οἰκίσας δὲ τὸν ὑπὲρ τῆς Νάξου λόφον τὸν ὀνομαζόμενον Ταῦρον . . . ὠνόμασε Ταυρομένιον.*

Plut. Timol. 10: Timoleon und die korinthischen trieren *κατήχθησαν εἰς Ταυρομένιον τῆς Σικελίας ὑποδεχομένου καὶ καλοῦντος αὐτοὺς ἔτι πάλαι προθύμως Ἀνδρομάχου τοῦ τὴν πόλιν ἔχοντος καὶ δυναστεύοντος. οὗτος ἦν πατὴρ Τιμαίου τοῦ ἱστορικοῦ καὶ πολὺ κράτιστος τῶν τότε δυναστευόντων ἐν Σικελίᾳ γενόμενος τῶν τε ἑαυτοῦ πολιτῶν ἡγεῖτο νομίμως καὶ δικαίως καὶ πρὸς τοὺς τυράννους φανερὸς ἦν ἀεὶ διακείμενος ἀπεχθῶς καὶ ἀλλοτρίως.* vgl. c. 11. Diod. XVI 68 (ol. 108, 4. 344).

Marcell. l. d. Thuk. *α* § 27 *Τίμαιος δὲ ὁ Ταυρομενίτης Τιμολέοντα ὑπερεπῄνεσε τοῦ μετρίου, καθότι Ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα οὐ κατέλυσε τῆς μοναρχίας.*

Polyb. XII 23 *Τίμαιος δὲ μεῖζω ποιεῖ Τιμολέοντα τῶν ἐπιφανεστάτων θεῶν. . . . ἀλλά μοι δοκεῖ πεισθῆναι Τίμαιος, ὡς ἂν Τιμολέων, πεφιλοδοξηκὼς ἐν αὐτῇ Σικελίᾳ, καθάπερ ἐν ὀξυβάφῳ, σύγκριτος φανῇ τοῖς ἐπιφανεστάτοις τῶν ἡρώων, κἂν αὐτὸς ὑπὲρ Ἰταλίας μόνον καὶ Σικελίας πραγματευόμενος εἰκότως παραβολῆς ἀξιωθῆναι τοῖς ὑπὲρ τῆς οἰκουμένης καὶ τῶν καθόλου πράξεων πεποιημένοις τὰς συντάξεις.* vgl. c. 26[b].

Timaeos flüchtete vor Agathokles vermutlich ol. 115, 4. 317 (Diod. XIX 8; oder ol. 117, 3. 310 eb. XX 4) und kehrte erst nach fünfzig jahren nach Sicilien zurück. er erlebte noch die ersten zeiten des punischen kriegs der Römer.

Polyb. XII 25[h] *ὅτι Τίμαιός φησιν ἐν τῇ λ′ καὶ δ′ βίβλῳ „πεντήκοντα συνεχῶς ἔτη διατρίψας Ἀθήνησι ξενιτεύων“ καὶ πάσης ὁμολογουμένως ἄπειρος ἐγένετο πολεμικῆς χρείας, ἔτι δὲ καὶ τῆς τῶν τόπων θέας.* vgl. c. 25[d] *ἀποκαθίσας γὰρ Ἀθήνησι σχεδὸν ἔτη πεντήκοντα καὶ πρὸς τοῖς τῶν προγεγονότων ὑπομνήμασι γενόμενος, ὑπέλαβε τὰς μεγίστας ἀφορμὰς ἔχειν πρὸς τὴν ἱστορίαν, ἀγνοῶν, ὡς γ′ ἐμοὶ δοκεῖ.*

Plut. de exil. 14 p. 605[e] *Τίμαιος ὁ Ταυρομενίτης (συνέγραψεν) ἐν Ἀθήναις.*

[Lukian.] Makrob. 22 *Τίμαιος ὁ Ταυρομενίτης (ἔζησεν ἔτη) ϛ′ καὶ ϙ′.*

Timaeos' hauptwerk *Ἱστορίαι (Ἰταλικὰ καὶ Σικελικά, Σικελικὰ καὶ Ἑλληνικά)* gieng von den ältesten zeiten bis

Digitized by Google

264 v. Ch. Polyb. I 5 αὕτη (ἡ πρώτη διάβασις ἐξ Ἰταλίας § 41.
Ῥωμαίων) δ' ἐστὶ συνεχὴς μὲν τοῖς ἀφ' ὧν Τίμαιος ἀπέλιπε, πίπτει δὲ κατὰ τὴν ἑνάτην καὶ εἰκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα.

Citiert werden von den ἱστορίαι 38 bb. und (daran anschliesend) 5 bb. über Agathokles.

Polyb. XII 10 διότι τοῦτ' ἰδιόν ἐστι Τιμαίου, καὶ ταύτῃ παρημίλληται τοὺς ἄλλους συγγραφέας καὶ καθόλου τῇδέ πῃ τῆς ἀποδοχῆς ἀντιποιεῖται (λέγω δὲ κατὰ τὴν ἐν τοῖς χρόνοις καὶ ταῖς ἀναγραφαῖς ἐπίφασιν τῆς ἀκριβείας καὶ τὴν περὶ τοῦτο τὸ μέρος ἐπιμέλειαν), δοκῶ, πάντες γινώσκομεν. — 11 ὁ γὰρ τὰς συγκρίσεις ποιούμενος ἀνέκαθεν τῶν ἐφόρων πρὸς τοὺς βασιλεῖς τοὺς ἐν Λακεδαίμονι, καὶ τοὺς ἄρχοντας τοὺς Ἀθήνησι καὶ τὰς ἱερείας τὰς ἐν Ἄργει παραβάλλων πρὸς τοὺς ὀλυμπιονίκας, καὶ τὰς ἁμαρτίας τῶν πόλεων περὶ τὰς ἀναγραφὰς τὰς τούτων ἐξελέγχων, παρὰ τρίμηνον ἐχούσας τὸ διαφέρον, οὗτος ἐστίν. καὶ μὴν ὁ τὰς ὀπισθοδόμους στήλας καὶ τὰς ἐν ταῖς φλιαῖς τῶν νεῶν προξενίας ἐξευρηκὼς Τίμαιός ἐστιν. vgl. G. F. Unger Philol. XXXIII 245 ff. XL 79.

Joseph. w. Apion I 3 p. 176 Bk. — τίνα τρόπον Ἔφορος μὲν Ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπιδείκνυσιν, Ἔφορον δὲ Τίμαιος, καὶ Τίμαιον οἱ μετ' ἐκεῖνον γεγονότες, Ἡρόδοτον δὲ πάντες. ἀλλ' οὐδὲ περὶ τῶν Σικελικῶν τοῖς περὶ Ἀντίοχον καὶ Φίλιστον ἢ Καλλίαν Τίμαιος συμφωνεῖν ἠξίωσεν, οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτθίδας συγγεγραφότες ἢ περὶ τῶν Ἀργολικῶν οἱ τὰ περὶ Ἄργος ἱστοροῦντες ἀλλήλοις κατηκολουθήκασιν. über Timaeos' invectiven gegen Philistos s. § 23 s. 41. 43.

Gegen Timaeos schrieben Istros und Polemon; vgl. u. § 53 s. 105. 108. Polybios XII 3—28 vertheidigt Aristoteles Theophrastos Kallisthenes, desgleichen Theopomp Ephoros Demochares gegen die schmähungen des Timaeos.

Polyb. XII 7 ὅτι πολλὰ ἱστορεῖ ψευδῆ ὁ Τίμαιος, καὶ δοκεῖ τὸ παράπαν οὐκ ἄπειρος ὢν οὐδενὸς τῶν τοιούτων· ὑπὸ δὲ τῆς φιλονεικίας ἐπισκοτούμενος, ὅταν ἅπαξ ἢ ψέγειν ἢ τοὐναντίον ἐγκωμιάζειν τινὰ προθῆται, πάντων ἐπιλανθάνεται καὶ πολύ τι τοῦ καθήκοντος παρεκβαίνει.

Eb. 24 οὗτος γὰρ ἐν μὲν ταῖς τῶν πέλας κατηγορίαις πολλὴν ἐπιφαίνει δεινότητα καὶ τόλμαν, ἐν δὲ ταῖς ἰδίαις

Digitized by Google

§ 44. ἀποφάσεσιν ἐνυπνίων καὶ τεράτων καὶ μύθων ἀπιθάνων καὶ συλλήβδην δεισιδαιμονίας ἀγεννοῦς καὶ τερατείας γυναικώδους ἐστὶ πλήρης.

Eb. 25c ἴσως δ' οὖν ἄν τις ἐναποῤῥήσειε πῶς τοιοῦτος ὤν, οἷον ἡμεῖς ὑποδείκνυμεν, τοσαύτης παρ' ἐνίοις ἀποδοχῆς τέτευχε καὶ πίστεως. τούτου δ' ἐστὶν αἴτιον διότι πλεοναζούσης αὐτῷ κατὰ τὴν πραγματείαν τῆς κατὰ τῶν ἄλλων ἐπιτιμήσεως καὶ λοιδορίας οὐκ ἐκ τῆς αὐτοῦ θεωρεῖται πραγματείας οὐδ' ἐκ τῶν ἰδίων ἀποφάσεων, ἀλλ' ἐκ τῆς τῶν πέλας κατηγορίας, πρὸς ὃ γένος καὶ πολυπραγμοσύνην δοκεῖ μοι καὶ φύσιν προσενέγκασθαι διαφέρουσαν.

Eb. 26d καὶ μάλιστα ταύτην γ' ἐνείργασται τὴν δόξαν ἐκ τῶν περὶ τὰς ἀποικίας καὶ κτίσεις καὶ συγγενείας ἀποφάσεων· ἐν γὰρ τούτοις τηλικαύτην ἐπίφασιν ποιεῖται τῆς ἀκριβολογίας καὶ τῆς πικρίας τῆς ἐπὶ τῶν ἐλέγχων, οἷς χρῆται κατὰ τῶν πέλας, ὥστε δοκεῖν τοὺς ἄλλους συγγραφέας ἅπαντας συγκεκοιμῆσθαι τοῖς πράγμασι καὶ κατεσχεδιακέναι τῆς οἰκουμένης, αὐτὸν δὲ μόνον ἐξητακέναι τὴν ἀκρίβειαν καὶ διευκρινηκέναι τὰς ἐν ἑκάστοις ἱστορίας, ἐν οἷς πολλὰ μὲν ὑγιῶς λέγεται, πολλὰ δὲ καὶ ψευδῶς . . .

Eb. 28 . . κἀγὼ δ' ἂν εἰποιμι διότι τὰ τῆς ἱστορίας ἕξει τότε καλῶς, ὅταν ἢ οἱ πραγματικοὶ τῶν ἀνδρῶν γράφειν ἐπιχειρήσωσι τὰς ἱστορίας —, ἢ οἱ γράφειν ἐπιβαλλόμενοι τὴν ἐξ αὐτῶν τῶν πραγμάτων ἕξιν ἀναγκαίαν ἡγήσωνται πρὸς τὴν ἱστορίαν. πρότερον δ' οὐκ ἔσται παῦλα τῆς τῶν ἱστοριογράφων ἀγνοίας. ὧν ὁ Τίμαιος οὐδὲ τὴν ἐλαχίστην πρόνοιαν θέμενος, ἀλλὰ καταβιώσας ἐν ἑνὶ τόπῳ ξενιτεύων, καὶ σχεδὸν ὡσανεὶ κατὰ πρόθεσιν ἀπειπάμενος καὶ τὴν ἐνεργητικὴν τὴν περὶ τὰς πολεμικὰς καὶ πολιτικὰς πράξεις καὶ τὴν ἐκ τῆς πλάνης καὶ θέας αὐτοπάθειαν, οὐκ οἶδ' ὅπως ἐκφέρεται δόξαν ὡς ἔλκων τὴν τοῦ συγγραφέως προστασίαν.

Eb. 28a αὐτὸ τὸ συναθροῖσαί φησι τὴν παρασκευὴν τὴν πρὸς τὴν ἱστορίαν μεῖζον ἔργον εἶναι τῆς ὅλης πραγματείας πῆς περὶ τοὺς ἐπιδεικτικοὺς λόγους· αὐτὸς γοῦν τηλικαύτην ὑπομεμενηκέναι δαπάνην καὶ κακοπάθειαν τοῦ συναγαγεῖν τὰ παρ' Ἀσσυρίων ὑπομνήματα καὶ πολυπραγμονῆσαι τὰ Λιγύων ἔθη καὶ Κελτῶν, ἅμα δὲ τούτοις Ἰβήρων, ὥστε μήτ' ἂν αὐτὸς ἐλπίσαι μήτ' αὖ ἑτέροις ἐξηγουμένοις πεισθῆναι περὶ τούτων.

Diod. XXI fr. 17 p. 560 ὅτι οὗτος ὁ ἱστορικός, τὰς ἁμαρτίας τῶν πρὸ ἑαυτοῦ συγγραφέων πικρότατα ἐλέγξας,

Digitized by Google

κατὰ μὲν τἆλλα μέρη τῆς γραφῆς πλείστην πρόνοιαν εἶχε τῆς ἀληθείας, ἐν δὲ ταῖς Ἀγαθοκλέους πράξεσι τὰ πολλὰ κατέψευσται τοῦ δυνάστου διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. φυγαδευθεὶς γὰρ ὑπ' Ἀγαθοκλέους ἐκ τῆς Σικελίας ζῶντα μὲν ἀμύνασθαι τὸν δυνάστην οὐκ ἴσχυσε, τελευτήσαντα δὲ διὰ τῆς ἱστορίας ἐβλασφήμησεν εἰς τὸν αἰῶνα. καθόλου γὰρ ταῖς προϋπαρχούσαις τῷ βασιλεῖ τούτῳ κακίαις ἄλλα πολλὰ παρ' ἑαυτοῦ προσθεὶς ὁ συγγραφεύς, τὰς μὲν εὐημερίας ἀφαιρούμενος αὐτοῦ, τὰς δὲ ἀποτεύξεις, οὐ τὰς δι' αὐτὸν μόνον γενομένας ἀλλὰ καὶ τὰς διὰ τύχην, μεταφέρων εἰς τὸν μηδὲν ἐξαμαρτόντα ..... θαυμάσαι δ' ἄν τις τοῦ συγγραφέως τὴν εὐχέρειαν· παρ' ὅλην γὰρ τὴν γραφὴν ἐγκωμιάζων τὴν τῶν Συρακουσίων ἀνδρείαν, τὸν τούτων κρατήσαντα δειλίᾳ φησὶ διενηνοχέναι τοὺς ἅπαντας ἀνθρώπους. διὰ γὰρ τῶν ἐν ταῖς ἐναντιώσεσιν ἐλέγχων φανερός ἐστι τὸ φιλάληθες τῆς ἱστορικῆς παρρησίας προδεδωκὼς ἰδίας ἕνεκεν ἔχθρας καὶ φιλονεικίας. διόπερ τὰς ἐσχάτας τῆς συντάξεως πέντε βίβλους τοῦ συγγραφέως τούτου, καθ' ἃς περιείληφε τὰς Ἀγαθοκλέους πράξεις, οὐκ ἄν τις δικαίως ἀποδέξαιτο. vgl. Polyb. XII 15. § 44.

Gell. XI 1, 1 *Timaeus in historiis, quas oratione Graeca de rebus populi Romani composuit, et M. Varro in antiquitatibus rerum humanarum terram Italiam de Graeco vocabulo appellatam scripserunt, quoniam boves Graeca vetere lingua ἰταλοὶ vocitati sint.*

Dionys. arch. I 67 p. 170 von den Penaten: σχήματος δὲ καὶ μορφῆς αὐτῶν πέρι Τίμαιος μὲν ὁ συγγραφεὺς ὧδε ἀποφαίνεται· κηρύκια σιδηρᾶ καὶ χαλκᾶ καὶ κέραμον Τρωικὸν εἶναι τὰ ἐν τοῖς ἀδύτοις τοῖς ἐν Λαουϊνίῳ κείμενα ἱερά, πυθέσθαι δὲ αὐτὸς ταῦτα παρὰ τῶν ἐπιχωρίων.

Eb. 74 p. 187 τὸν δὲ τελευταῖον τῆς Ῥώμης γενόμενον οἰκισμὸν — Τίμαιος μὲν ὁ Σικελιώτης — ἅμα Καρχηδόνι κτιζομένῃ γενέσθαι φησὶν ἢ καὶ λ' πρότερον ἔτει τῆς πρώτης ὀλυμπιάδος.

[Skymnos] περιήγησις vs. 209 (Müller geogr. gr. m. I p. 204) Μασσαλία δ' ἔστ' ἐχομένη, ‖ πόλις μεγίστη, Φωκαέων ἀποικία. ‖ ἐν τῇ Λιγυστικῇ δὲ ταύτην ἔκτισαν ‖ πρὸ τῆς μάχης τῆς ἐν Σαλαμῖνι γενομένης ‖ ἔτεσιν πρότερον, ὥς φασιν, ἑκατὸν εἴκοσι. ‖ Τίμαιος οὕτως ἱστορεῖ δὲ τὴν κτίσιν . .

Plin. NH XXXIII 43 *Servius rex primus signavit aes; antea rudi usos Romae Timaeus tradit.*

Digitized by Google

§ 44. Den krieg des Pyrrhos mit den Römern behandelte Timaeos in einer besonderen schrift:

Dionys. arch. I 6 p. 17 *πρώτου μὲν — τὴν Ῥωμαϊκὴν ἀρχαιολογίαν ἐπιδραμόντος Ἱερωνύμου τοῦ Καρδιανοῦ . . . . . ., ἔπειτα Τιμαίου τοῦ Σικελιώτου τὰ μὲν ἀρχαῖα τῶν ἱστοριῶν ἐν ταῖς κοιναῖς ἱστορίαις ἀφηγησαμένου, τοὺς δὲ πρὸς Πύρρον τὸν Ἠπειρώτην πολέμους εἰς ἰδίαν καταχωρίσαντος πραγματείαν.*

Cic. ep. ad fam. V 12, 2 *ut multi Graeci fecerunt, Callisthenes Phocicum bellum, Timaeus Pyrrhi, Polybius Numantinum, qui omnes a perpetuis suis historiis ea quae dixi bella separaverunt.*

Polyb. XII 4^{b} *ἐν τοῖς περὶ τοῦ Πύρρου πάλιν φησὶ (Τίμαιος) . . .*

Timaeos ward von Trogus Pompejus und für die geschichte Siciliens von Diodor benutzt.

Schreibweise des Timaeos:

Cicero de orat. II 14, 58 *minimus natu horum omnium Timaeus, quantum autem iudicare possum, longe eruditissimus et rerum copia et sententiarum varietate abundantissimus et ipsa compositione verborum non impolitus, magnam eloquentiam ad scribendum attulit, sed nullum usum forensem.* Brut. 95, 325 *genera autem Asiaticae dictionis duo sunt, unum sententiosum et argutum, sententiis non tam gravibus et severis quam concinnis et venustis; qualis in historia Timaeus — fuit.*

Dionys. Deinarch. 8 p. 646 *οἱ δ' Ἰσοκράτην καὶ τὰ Ἰσοκράτους ἀποτυπώσασθαι θελήσαντες ὕπτιοι καὶ ψυχροὶ καὶ ἀναλήθεις (ἐγένοντο)· οὗτοι δ' εἰσὶν οἱ περὶ Τίμαιον καὶ Ψάωνα καὶ Σώσιλον (Σωσιγένην* v.).

[Longin.] *π. ὕψους* 4, 1 *τοῦ ψυχροῦ πλήρης ὁ Τίμαιος, ἀνὴρ τὰ μὲν ἄλλα ἱκανὸς καὶ πρὸς λόγων ἐνίοτε μέγεθος οὐκ ἄφορος, πολυΐστωρ, ἐπινοητικός, πλὴν ἀλλοτρίων μὲν ἐλεγκτικώτατος ἁμαρτημάτων, ἀνεπαίσθητος δὲ ἰδίων· ὑπὸ δ' ἔρωτος τοῦ ξένας νοήσεις ἀεὶ κινεῖν πολλάκις ἐκπίπτων εἰς τὸ παιδαριωδέστατον. παραθήσομαι δὲ τἀνδρὸς ἓν ἢ δύο, ἐπειδὴ τὰ πλείω προέλαβέν ὁ Καικίλιος κτέ.* vgl. Plut. Nikias 1.

Die parische marmorchronik beruht zum teil auf Timaeos (nicht auf Phanias, wie Böckh annahm). Sie wurde

Digitized by Google

zuerst herausgegeben von Io. Selden, Marmora Arundelliana Lond. 1628. 4; neuerdings von Böckh CIG II nr. 2374 p. 293—343. Müller FHG I 533—590. sie rechnet von ol. 129, 1. 264 v. Ch., der zeit ihrer abfassung, die jahre rückwärts. § 44.

Z. 1—3 . . . . . *ου . . . . [ἐξ ἀναγραφῶ]ν παν[τοί]ων [περὶ τῶν προγεγενημέ]νων ἀνέγραψα τοὺς ἄν[ωθεν χρό]νους] ἀρξάμ[εν]ος ἀπὸ Κέκροπος τοῦ πρώτου βασιλεύσαντος Ἀθηνῶν εἶως ἄρχοντος ἐμ Πάρῳ [μὲν] ‖ . . . νάνακτος, Ἀθήνησι δὲ Διογνήτου.*

2. Öffentliche beredsamkeit. Staatswissenschaft. Biographien. Culturgeschichte. Rationalismus in der Mythologie.

§ 45. Demegorien und reden in staatsprocessen.

Dionysios erstes schr. an Ammaeos VI p. 719—749 R. Dees. Deinarchos V p. 629—668 R. Benj. Gotthold Weiske, de hyperbole errorum in historia Philippi Am. f. commissorum genitrice. Leipz. 1818 s. vgl. § 26.

Aeschines. *κατὰ Τιμάρχου* 345.
περὶ παραπρεσβείας 343.
κατὰ Κτησιφῶντος 330.

Lykurgos. *κατὰ Λεωκράτους* 330.

Demosthenes.

22. *κατὰ Ἀνδροτίωνος παρανόμων* 355.
20. *περὶ τῆς ἀτελείας πρὸς Λεπτίνην* 355/4.
14. *περὶ τῶν συμμοριῶν* 354.
24. *κατὰ Τιμοκράτους* 352.
16. *ὑπὲρ Μεγαλοπολιτῶν* 352.
23. *κατὰ Ἀριστοσράτους* 352.
4. *κατὰ Φιλίππου α΄* 351.
15. *περὶ τῆς Ῥοδίων ἐλευθερίας* 351.
21. *κατὰ Μειδίου* 349.
1. 2. 3. *Ὀλυνθιακὸς α΄ β΄ γ΄* 349/8.
5. *περὶ εἰρήνης* 346.
6. *κατὰ Φιλίππου β΄* 344.
19. *κατ' Αἰσχίνου περὶ τῆς παραπρεσβείας* 343.
8. *περὶ τῶν ἐν Χερρονήσῳ* 341.
9. *κατὰ Φιλίππου γ΄* 341.
18. *ὑπὲρ Κτησιφῶντος περὶ τοῦ στεφάνου* 330.

Digitized by Google

§ 45. Hegesippos *περὶ Ἁλοννήσου* (oder *πρὸς τοὺς Φιλίππου πρέσβεις*) 342. von unbekannter hand *περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν* 330.

Hypereides. in den ägyptischen katakomben aufgefundene fragmente der reden *κατὰ Δημοσθένους* 324, *ὑπὲρ Εὐξενίππου εἰσαγγελίας ἀπολογία*, *ὑπὲρ Λυκόφρονος*, *λόγος ἐπιτάφιος* 322, zuerst herausgegeben von Churchill Babington 1850. 53. 58.

Deinarchos (von Korinth). reden aus dem Harpalischen processe (324) *κατὰ Δημοσθένους*, *κατὰ Ἀριστογείτονος*, *κατὰ Φιλοκλέους*.

Democharcs. Müller FHG II 445.

Cic. Brut. 83, 286 *Democharcs autem, qui fuit Demostheni sororis filius, et orationes scripsit aliquot et earum rerum historiam, quae erant Athenis ipsius aetate gestae, non tam historico quam oratorio genere perscripsit.*

Von den *Ἱστορίαι* wird das 20. und 21. buch citiert. vgl. Polyb. XII 13 s.

§ 46. Aristoteles und die peripatetische schule.

Cic. de legg. III 6, 14 . . *veteres verbo tenus acute illi quidem, sed non ad hunc usum popularem atque civilem de re publica disserebant. ab hac familia magis ista manarunt Platone principe. post Aristoteles illustravit omnem hunc civilem in disputando locum Heraclidesque Ponticus profectus ab eodem Platone. Theophrastus vero institutus ab Aristotele habitavit, ut scitis, in eo genere rerum ab eodemque Aristotele doctus Dicaearchus huic rationi studioque non defuit. post a Theophrasto Phalereus ille Demetrius . . . . . mirabiliter doctrinam ex umbraculis eruditorum otioque non modo in solem atque in pulverem, sed in ipsum discrimen aciemque produxit.*

Aristoteles. † 322.

Opera ed. academia regia Borussica. v voll. Berl. 1831—1870. Zu den fragmenten vgl. Müller FHG II 102. Valent. Rose, Aristoteles pseudepigraphus. Leipz. 1863. Emil Heitz, die verlorenen schriften des Aristoteles. Leipz. 1865. Jac. Bernays, die dialoge des Ar. in ihrem verhältnis zu seinen übrigen werken. Berl. 1863.

Dialoge: *πολιτικός* 2 bb. *περὶ δικαιοσύνης* 4 bb. *περὶ βασιλείας*. *Ἀλέξανδρος ἢ περὶ ἀποικιῶν*.

Πολιτεῖαι πόλεων δυοῖν δεούσαιν ρξ΄, *κοιναὶ καὶ ἴδιαι*,

Digitized by Google

δημοκρατικαί, ὀλιγαρχικαί, ἀριστοκρατικαί, τυραννικαί (Diog. L V 27) — *κατὰ στοιχεῖον*. vgl. Th. Bergk Rh. mus. XXXVI 87. § 46.

Ἠθικὰ Νικομάχεια 10 bb. *Πολιτικά* 8 bb. *Δικαιώματα* (rechtsstreitigkeiten griechischer staaten, nach Bergk's vermuthung ol. 112, 3. 330 verfaszt).

Cic. de fin. V 4, 11 *omnium fere civitatum non Graeciae solum sed etiam barbariae ab Aristotele mores instituta disciplinas, a Theophrasto leges etiam cognovimus. cumque uterque eorum docuisset qualem in re publica principem ⟨esse⟩ conveniret, pluribus praeterea conscripsisset qui esset optimus rei publicae status, hoc amplius Theophrastus, quae essent in re publica rerum inclinationes et momenta temporum, quibus esset moderandum utcumque res postularet.*

Theophrastos von Eresos. † 287.

Herm. Usener, analecta Theophrastea. Leipz. 1858.

Νόμοι κατὰ στοιχεῖον 24 bb. *περὶ βασιλείας. περὶ βίων* 3 bb. *πολιτικά* 6 bb. *πολιτικὰ πρὸς τοὺς καιρούς* 4 bb. *πολιτικὰ ἔθη* 4 bb. *περὶ τῆς ἀρίστης πολιτείας. περὶ εὑρημάτων* 2 bb. *ἱστορικὰ ὑπομνήματα.*

Herakleides Pontikos. .

(Suid. *Ἡρακλείας τῆς ἐν Πόντῳ.*)

Unter Herakleides' namen (*ἐκ τῶν Ἡρακλείδου περὶ πολιτειῶν*) sind excerpte von jüngerer hand erhalten, welche zum teil aus Aristoteles abgeleitet sind.

Ausg. v. F. W. Schneidewin. Gött. 1874. Müller FHG II 197.

Aristoxenos von Tarent.

Müller FHG II 269.

Suidas: *Ἀριστόξενος, υἱὸς Μνησίου τοῦ καὶ Σπινθάρου, μουσικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας. — — γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων· ὡς εἶναι ἀπὸ τῆς ρια' ὀλυμπιάδος* (336), *σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα, καὶ ἱστορίας, καὶ παντὸς εἴδους παιδείας, καὶ ἀριθμοῦνται αὐτοῦ τὰ βιβλία εἰς υνγ'.*

Cic. Tusc. I 18, 41 *Dicaearchum vero cum Aristoxeno aequali et condiscipulo suo, doctos sane homines.*

Digitized by Google

§ 46. Aristoxenos verfaszte u. a. *Βίοι ἀνδρῶν*, namentlich *Βίος Πυθαγόρου*.

Hieronym. de viris illustrib. II 822 Vallarsi: *hortaris me, Dexter, ut Tranquillum sequens ecclesiasticos scriptores in ordinem digeram, et quod ille in enumerandis gentilium litterarum viris fecit illustribus, ego in nostris faciam . . : fecerunt quidem hoc idem apud Graecos Hermippus peripateticus, Antigonus Carystius, Satyrus doctus vir, et longe omnium doctissimus Aristoxenus musicus.*

Plutarch *ὅτι οὐδὲ ζῆν ἔστιν ἡδέως κατ' Ἐπίκουρον* 10 p. 1093^{b} *ὅταν δὲ μηδὲν ἔχουσα λυπηρὸν ἢ βλαβερὸν ἱστορία καὶ διήγησις ἐπὶ πράξεσι καλαῖς καὶ μεγάλαις προσλάβῃ λόγον ἔχοντα δύναμιν καὶ χάριν, ὡς τὸν Ἡροδότου τὰ Περσικὰ καὶ Ἑλληνικὰ τὸν Ξενοφῶντος· ὅσσα δ' Ὅμηρος ἐθέσπισε θέσκελα εἰδώς, ἢ γῆς περιόδους Εὔδοξος, ἢ κτίσεις καὶ πολιτείας Ἀριστοτέλης, ἢ βίους ἀνδρῶν Ἀριστόξενος ἔγραψεν, οὐ μόνον μέγα καὶ πολὺ τὸ εὐφραῖνον, ἀλλὰ καὶ καθαρὸν καὶ ἀμεταμέλητόν ἐστιν.*

Gell. IV 11, 4 *Aristoxenus musicus, vir litterarum veterum diligentissimus, Aristotelis philosophi auditor, in libro quem de Pythagora reliquit.*

Diog. L. I 118 *Ἀριστόξενος δ' ἐν τῷ περὶ Πυθαγόρου καὶ τῶν γνωρίμων αὐτοῦ.*

Dikaearchos von Messana.

Müller FHG II 225.

Suidas: *Δικαίαρχος Φειδίου Σικελιώτης ἐκ πόλεως Μεσσήνης, Ἀριστοτέλους ἀκουστής, φιλόσοφος καὶ ῥήτωρ καὶ γεωμέτρης. καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν· Ἑλλάδος βίον ἐν βιβλίοις γ'. οὗτος ἔγραψε τὴν πολιτείαν Σπαρτιατῶν· καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι, καθ' ἕκαστον ἔτος ἀναγινώσκεσθαι τὸν λόγον εἰς τὸ τῶν ἐφόρων ἀρχεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτησε μέχρι πολλοῦ.*

Dikaearch verfaszte u. a. *Γῆς περίοδος* und *Βίος τῆς Ἑλλάδος* 3 bb., sein berühmtestes werk.

Cic. ad. Att. XI 2, 3 (*Dicaearchus*) *erat ἱστορικώτατος et vixerat in Peloponneso.* II 12, 4 *Dicaearchum recte amas. luculentus homo est et civis haud paullo melior quam isti nostri ἀδικαίαρχοι.*

Digitized by Google

Plin. NH II 162 von der kugelgestalt der erde: *cui sententiae adest Dicaearchus, vir in primis eruditus, regum cura permensus montis, ex quibus altissimum prodidit Pelion ss.* § 46.

Strab. II p. 104 *Πολύβιος δὲ τὴν Εὐρώπην χωρογραφῶν τοὺς μὲν ἀρχαίους ἐᾶν φησί, τοὺς δ' ἐκείνους ἐλέγχοντας ἐξετάζειν, Δικαίαρχόν τε καὶ Ἐρατοσθένη, τὸν τελευταῖον πραγματευσάμενον περὶ γεωγραφίας.*

Porphyr. de abstin. IX 1, 2 (fr. 1) *τῶν τοίνυν συντόμως τε ὁμοῦ καὶ ἀκριβῶς τὰ Ἑλληνικὰ συναγαγόντων ἐστὶ καὶ ὁ περιπατητικὸς Δικαίαρχος, ὃς τὸν ἀρχαῖον βίον τῆς Ἑλλάδος ἀφηγούμενος κτέ.*

Varro de re rust. I 2 (fr. 5) *et quidem licet adicias, inquam, pastorum vitam esse incentivam, agricolarum succentivam, auctore doctissimo homine Dicaearcho, qui Graeciae vitam qualis fuerit ab initio nobis ita ostendit, ut superioribus temporibus fuisse doceat, cum homines pastoriciam vitam viverent, neque scirent etiam arare terram aut serere arbores aut putare; ab his inferiore gradu aetatis susceptam agriculturam.*

Athen. XIII p. 557[b] (fr. 18) *Φίλιππος δὲ ὁ Μακεδὼν οὐ περιήγετο μὲν εἰς τοὺς πολέμους γυναῖκας, ὥσπερ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου καταλυθείς, ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας ἑξήκοντα περιήγετο παλλακάς, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τρίτῳ περὶ τοῦ τῆς Ἑλλάδος βίου.*

Irrtümlich sind Dikaearch beigelegt fragmente aus einer nach 164 v. Ch. verfaszten schrift *περὶ τῶν ἐν Ἑλλάδι πόλεων* s. Müller FHG II 229. 254. geogr. gr. min. I LI. 97. C. Wachsmuth Gerhards denkmäler 1860. nr. 141. s. 110.

Phanias von Eresos.

Müller FHG II 293. Böckh CIG II 304.

Suidas: *Φανίας (ἢ Φαινίας) Ἐρέσιος, φιλόσοφος περιπατητικός, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ριαʹ ὀλυμπιάδος (336) καὶ μετέπειτα, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.*

Strab. XIII p. 618 *ἐξ Ἐρέσου δ' ἦσαν Θεόφραστός τε καὶ Φανίας οἱ ἐκ τῶν περιπάτων φιλόσοφοι, Ἀριστοτέλους γνώριμοι.*

Plut. Them. 13 *ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος.*

Von Phanias' historischen schriften werden u. a. angeführt *περὶ πρυτάνεων Ἐρεσίων, περὶ τῶν ἐν Σικελίᾳ τυράννων, τυράννων ἀναίρεσις ἐκ τιμωρίας.*

Digitized by Google

Klearchos von Soloi.

§ 46. Müller FHG II 302. Max Weber, de Cl. S. vita et operib. Bresl. 1880.

Joseph. w. Apion I 22 p. 200 (fr. 69) *Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητὴς καὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων οὐθενὸς δεύτερος, ἐν τῷ πρώτῳ περὶ ὕπνου βιβλίῳ φησὶν Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, αὐτῷ τε τὸν λόγον Ἀριστοτέλει ἀνατίθησιν κτέ.*

Athen. II 57e (fr. 41) „*ἐκάλουν δὲ καὶ τὰ νῦν τῶν οἰκιῶν παρ' ἡμῖν καλούμενα ὑπερῷα ᾠά*“ *φησὶ Κλέαρχος ἐν Ἐρωτικοῖς, τὴν Ἑλένην φάσκων ἐν τοιούτοις οἰκήμασι τρεφομένην δόξαν ἀπενέγκασθαι παρὰ πολλοῖς ὡς ἐξ ᾠοῦ εἴη γεγεννημένη.*

Demetrios von Phaleron.

Müller FHG II 362. Chr. Ostermann, de Demetrii Ph. vita, rebus gestis et scriptorum reliquiis l. II. Hersf. 1847. Fuld. 1857. 4.

Demetrios, schüler von Theophrast, betrat die politische laufbahn 324, ward von Kasandros an die spitze von Athen gestellt 317—307, und lebte nach Kasandros' tode († 296) in Aegypten, wo er nach 283 starb.

Diog. L. V 75 *Δημήτριος Φανοστράτου Φαληρεύς. οὗτος ἤκουσε μὲν Θεοφράστου, δημηγορῶν δὲ παρὰ Ἀθηναίοις τῆς πόλεως ἐξηγήσατο ἔτη δέκα καὶ εἰκόνων ἠξιώθη κτέ.* § 80 *πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν περιπατητικούς, εὐπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὀντινοῦν. ὧν ἐστὶ τὰ μὲν ἱστορικά, τὰ δὲ πολιτικά, τὰ δὲ περὶ ποιητῶν, τὰ δὲ ῥητορικά, δημηγοριῶν τε καὶ πρεσβειῶν, ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαί, καὶ ἄλλα πλείω. ἔστι δὲ τὰ περὶ τῆς Ἀθήνησι νομοθεσίας α' β' γ' δ' ε'. περὶ τῶν Ἀθήνησι πολιτῶν* (*πολιτευσαμένων* oder *ἀρχόντων*? Diog. L. I 22. II 7 *Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ.* Marcell. l. d. Thuk. *α' 32 Δημήτριος ἐν τοῖς ἄρχουσιν) α' β'. περὶ δημαγωγίας α' β'. περὶ πολιτικῆς α' β'. περὶ νόμων α'. — — — περὶ τῆς δεκαετείας α'.*

Strab. VIII 398 . . *τὰ ὑπομνήματα ἃ συνέγραψε περὶ τῆς πολιτείας ταύτης ἐκεῖνος.* über seine archontentafel als quelle Apollodors vgl. Herm. Diels Rh. Mus. XXXI 28. 37.

Duris von Samos § 42.

Digitized by Google

§ 47. Euhemeros von Messene.

K. Hoeck Kreta III 326. Leop. Krahner, grundlinien zur geschichte des verfalls der römischen staatsreligion. Halle 1837. 4. s. 22—41.

Euseb. praep. ev. II 2, 52 ss. (Diod. VI 2) *ὁ Διόδωρος καὶ ἐν τῇ ἕκτῃ ἀπὸ τῆς Εὐημέρου τοῦ Μεσσηνίου γραφῆς ἐπικυροῖ τὴν αὐτὴν θεολογίαν, ὥδε κατὰ λέξιν φάσκων· ... . περὶ δὲ τῶν ἐπιγείων θεῶν πολλοὶ καὶ ποικίλοι παραδέδονται λόγοι παρὰ τοῖς ἱστορικοῖς τε καὶ μυθογράφοις· καὶ τῶν μὲν ἱστορικῶν Εὐήμερος ὁ τὴν ἱερὰν ἀναγραφὴν ποιησάμενος ἰδίως ἀναγέγραφεν ..... Εὐήμερος μὲν οὖν, φίλος γεγονὼς Κασάνδρου τοῦ βασιλέως καὶ διὰ τοῦτον ἠναγκασμένος τελεῖν βασιλικάς τινας χρείας καὶ μεγάλας ἀποδημίας, φησὶν ἐκτοπισθῆναι κατὰ τὴν μεσημβρίαν εἰς τὸν ὠκεανόν, ἐκπλεύσαντα δὲ αὐτὸν ἐκ τῆς εὐδαίμονος Ἀραβίας ποιήσασθαι τὸν πλοῦν δι' ὠκεανοῦ πλείους ἡμέρας καὶ προσενεχθῆναι νήσοις πελαγίαις· ὧν μίαν ὑπάρχειν τὴν ὀνομαζομένην Πάγχαιαν, ἐν ᾗ τεθεᾶσθαι τοὺς ἐνοικοῦντας Παγχαίους εὐσεβείᾳ διαφέροντας καὶ τοὺς θεοὺς τιμῶντας μεγαλοπρεπεστάταις θυσίαις καὶ ἀναθήμασιν ἀξιολόγοις ἀργυροῖς τε καὶ χρυσοῖς. εἶναι δὲ καὶ τὴν νῆσον ἱερὰν θεῶν, καὶ ἕτερα πλείω θαυμαζόμενα κατά τε τὴν ἀρχαιότητα καὶ τὴν τῆς κατασκευῆς πολυτεχνίαν, περὶ ὧν τὰ κατὰ μέρος ἐν ταῖς πρὸ ταύτης βίβλοις ἀναγεγράφαμεν* (V 41—46). *εἶναι δ' ἐν αὐτῇ κατά τινα λόφον ὑψηλὸν καθ' ὑπερβολὴν ἱερὸν Διὸς Τριφυλίου, καθιδρυμένον ὑπ' αὐτοῦ καθ' ὃν καιρὸν ἐβασίλευσε τῆς οἰκουμένης ἁπάσης ἔτι κατ' ἀνθρώπους ὤν. ἐν τούτῳ τῷ ἱερῷ στήλην εἶναι χρυσῆν, ἐν ᾗ τοῖς Παγχαίοις γράμμασιν ὑπάρχειν γεγραμμένας τάς τε Οὐρανοῦ καὶ Κρόνου καὶ Διὸς πράξεις κεφαλαιωδῶς. μετὰ ταῦτά φησι πρῶτον Οὐρανὸν βασιλέα γεγονέναι, ἐπιεικῆ τινὰ ἄνδρα καὶ εὐεργετικὸν καὶ τῆς τῶν ἄστρων κινήσεως ἐπιστήμονα, ὃν καὶ πρῶτον θυσίαις τιμῆσαι τοὺς οὐρανίους θεούς· διὸ καὶ Οὐρανὸν προσαγορευθῆναι κτέ.*

Diod. V 46 .. *στήλη χρυσῆ μεγάλη, γράμματα ἔχουσα τὰ παρ' Αἰγυπτίοις ἱερὰ καλούμενα, δι' ὧν ἦσαν αἱ πράξεις Οὐρανοῦ τε καὶ Διὸς ἀναγεγραμμέναι, καὶ μετὰ ταύτας αἱ Ἀρτέμιδος καὶ Ἀπόλλωνος ὑφ' Ἑρμοῦ προσαναγεγραμμέναι.*

Athen. XIV p. 658e *Εὐήμερος — ὁ Κῷος ἐν τῷ γ' τῆς ἱερᾶς ἀναγραφῆς τοῦθ' ἱστορεῖ, ὡς Σιδωνίων λεγόντων τοῦτο,*

Digitized by Google

§ 47. ὅτι Κάδμος μάγειρος ὢν τοῦ βασιλέως καὶ παραλαβὼν τὴν Ἁρμονίαν αὐλητρίδα καὶ αὐτὴν οὖσαν τοῦ βασιλέως ἔφυγε σὺν αὐτῇ.

Cic. de nat. deor. I 42, 119 *quid? qui aut fortes aut claros aut potentes viros tradunt post mortem ad deos pervenisse eosque esse ipsos quos nos colere precari venerarique soleamus. nonne expertes sunt religionum omnium? quae ratio maxime tractata ab Euhemero est, quem noster et interpretatus et secutus est praeter ceteros Ennius. ab Euhemero autem et mortes et sepulturae demonstrantur deorum.*

Die fragmente von Ennius' *Euhemerus s. sacra historia* s. *Ennianae poesis reliquiae* rec. I. Vahlen. Leipz. 1854 p. XCIII. 169. vgl. quellenk. II s. 18.

§ 48. Idomeneus von Lampsakos.

Müller FHG II 489.

Suidas: Ἰδομενεύς, ἱστορικός. ἔγραψεν ἱστορίαν τῶν κατὰ Σαμοθράκην (Σωκράτην Fr. Nietzsche Rh. mus. XXV 229).

Idomeneus war schüler und freund von Epikur († 270) und schrieb περὶ τῶν Σωκρατικῶν. περὶ δημαγωγῶν.

Strab. XIII p. 589 καὶ αὐτὸς δ' Ἐπίκουρος τρόπον τινὰ Λαμψακηνὸς ὑπῆρξε, διατρίψας ἐν Λαμψάκῳ καὶ φίλοις χρησάμενος τοῖς ἀρίστοις τῶν ἐν τῇ πόλει ταύτῃ, τοῖς περὶ Ἰδομενέα καὶ Λεοντέα.

Plut. Perikl. 10 πῶς ἂν οὖν τις Ἰδομενεῖ πιστεύσειε κατηγοροῦντι τοῦ Περικλέους, ὡς τὸν δημαγωγὸν Ἐφιάλτην φίλον γενόμενον καὶ κοινωνὸν ὄντα τῆς ἐν τῇ πολιτείᾳ προαιρέσεως δολοφονήσαντος διὰ ζηλοτυπίαν καὶ φθόνον τῆς δόξης: ταῦτα γὰρ οὐκ οἶδ' ὅθεν συναγαγὼν ὥσπερ χολὴν τἀνδρὶ προσβέβληκεν.

Plut. Demosth. 23 nach der eroberung von Theben: εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξῄτει πέμπων τῶν δημαγωγῶν δέκα μέν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν, ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων.

Digitized by Google

IV. Die letzten zeiten des griechischen staatswesens. Alexandrinische gelehrsamkeit.

§ 49. Aratos von Sikyon († 213).

Müller FHG III 21. Ernst Köpke, de hypomnematis Graecis II. Brandenb. 1863. p. 9.

Βιογρ. ed. Westermann p. 55 . . *καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι ἄνδρες ἐλλόγιμοι, ἱστοριογράφοι, ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα, καὶ τρίτος ἐπισημότατος Σικυώνιος, οὗ ἐστὶν ἡ πολύβιβλος ἱστορία ὑπὲρ τὰ λ' βιβλία ἔχουσα.*

Plut. Arat. 3 *γεγονέναι κομψότερον εἰπεῖν (Ἄρατον) ἢ δοκεῖ τισὶν ἐκ τῶν ὑπομνημάτων κρίνουσιν, ἃ παρέργως καὶ ὑπὸ χεῖρα διὰ τῶν ἐπιτυχόντων ὀνομάτων ἀμιλλησάμενος κατέλιπεν.*

Polyb. II 40 *τῶν μέντοι γε Ἀράτῳ διῳκημένων καὶ νῦν καὶ μετὰ ταῦτα πάλιν ἐπικεφαλαιούμενοι μνησθησόμεθα διὰ τὸ καὶ λίαν ἀληθινοὺς καὶ σαφεῖς ἐκεῖνον περὶ τῶν ἰδίων συντεταχέναι πράξεων ὑπομνηματισμούς.* vgl. c. 56.

Eb. 47 Aratos in dem Kleomenischen kriege: *πολλὰ παρὰ τὴν ἑαυτοῦ γνώμην ἠναγκάζετο καὶ λέγειν καὶ ποιεῖν πρὸς τοὺς ἐκτός, δι' ὧν ἔμελλε τὴν ἐναντίαν ἔμφασιν ὑποδεικνύων ταύτην ἐπικρύψεσθαι τὴν οἰκονομίαν· ὧν χάριν ἔνια τούτων οὐδ' ἐν τοῖς ὑπομνήμασι κατέταξεν.*

Polyb. I 3 *ἄρξει δὲ τῆς πραγματείας ἡμῖν τῶν μὲν χρόνων ὀλυμπιὰς ρ' καὶ μ' (220), τῶν δὲ πράξεων παρὰ μὲν τοῖς Ἕλλησιν ὁ προσαγορευθεὶς συμμαχικὸς πόλεμος — —· ταῦτα δ' ἐστὶ συνεχῆ τοῖς τελευταίοις τῆς Ἀράτου τοῦ Σικυωνίου συντάξεως.* IV 2 *καλλίστην ὑπόστασιν ὑπολαμβάνοντες εἶναι ταύτην διὰ τὸ πρῶτον μὲν τὴν Ἀράτου σύνταξιν ἐπὶ τούτους καταστρέφειν τοὺς καιρούς . . .*

§ 50. Phylarchos.

Müller FHG I LXXVII. 334. fr. coll. I. F. Lucht. Leipz. 1836. I. A. Brückner Bresl. 1839. vgl. Plutarchi Agis et Cleomenes rec. Schömann Greifsw. 1839. p. XXI.

Suidas: *Φύλαρχος Ἀθηναῖος ἢ Ναυκρατίτης (οἱ δὲ Σικυώνιον, ἄλλοι Αἰγύπτιον ἔγραψαν), ἱστορικός. τὴν ἐπὶ Πελοπόννησον Πύρρου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις*

Digitized by Google

§ 50. κή· κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος καὶ τῆς Βερενίκης τελευτῆς, καὶ ἕως τοῦ θανάτου Κλεομένους τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου. τὰ κατὰ Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη. ἐπιτομὴν μυθικήν. περὶ τῆς τοῦ Διὸς ἐπιφανείας. περὶ εὑρημάτων. παρεμβάσεων βιβλία θ'.

Athen. II p. 58c Φύλαρχος ὁ Ἀθηναῖος ἢ Ναυκρατίτης. Ἱστορίαι 28 bb., von 272—220 v. Ch.

Polyb. II 56 ἐπεὶ δὲ τῶν κατὰ τοὺς αὐτοὺς καιροὺς Ἀράτῳ γεγραφότων παρ' ἐνίοις ἀποδοχῆς ἀξιοῦται Φύλαρχος, ἐν πολλοῖς ἀντιδοξῶν καὶ τἀναντία γράφων αὐτῷ, χρήσιμον ἂν εἴη, μᾶλλον δ' ἀναγκαῖον ἡμῖν, Ἀράτῳ προηρημένοις κατακολουθεῖν περὶ τῶν Κλεομενικῶν, μὴ παραλιπεῖν ἄσκεπτον τοῦτο τὸ μέρος, ἵνα μὴ τὸ ψεῦδος ἐν τοῖς συγγράμμασιν ἰσοδυναμοῦν ἀπολείπωμεν πρὸς τὴν ἀλήθειαν. καθόλου μὲν οὖν ὁ συγγραφεὺς οὗτος πολλὰ παρ' ὅλην τὴν πραγματείαν εἰκῇ καὶ ὡς ἔτυχεν εἴρηκε. πλὴν περὶ μὲν τῶν ἄλλων ἴσως οὐκ ἀναγκαῖον ἐπιτιμᾶν κατὰ τὸ παρὸν οὐδ' ἐξακριβοῦν· ὅσα δὲ συνεπιβάλλει τοῖς ὑφ' ἡμῶν γραφομένοις καιροῖς, ταῦτα δ' ἐστὶ τὰ περὶ τὸν Κλεομενικὸν πόλεμον, ὑπὲρ τούτων ἀναγκαῖόν ἐστιν ἡμῖν διευκρινεῖν. ἔσται δὲ πάντως ἀρκοῦντα ταῦτα πρὸς τὸ καὶ τὴν ὅλην αὐτοῦ προαίρεσιν καὶ δύναμιν ἐν τῇ πραγματείᾳ καταμαθεῖν ss. bis cap. 63.

Plut. Arat. 38 ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων, ᾧ μὴ τοῦ Πολυβίου μαρτυροῦντος οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν. ἐνθουσιᾷ γὰρ ὅταν ἅψηται τοῦ Κλεομένους ὑπ' εὐνοίας, καὶ καθάπερ ἐν δίκῃ [τῇ ἱστορίᾳ] τῷ μὲν (τῷ Ἀράτῳ) ἀντιδικῶν διατελεῖ τῷ δὲ συναγορεύων.

Plut. Them. 32 . . ἅ τε Φύλαρχος (περὶ τῶν λειψάνων τοῦ Θεμιστοκλέους λέγει), ὃς ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν νίεῖς Θεμιστοκλέους ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται.

Dionysios (de comp. verb. 4 p. 30) zählt Phylarchos zu den unlesbaren historikern.

Phylarchos' geschichte benutzten Trogus Pompejus und Plutarch (leben des Pyrrhos Agis Kleomenes Aratos).

Digitized by Google

Menodotos von Perinthos

§ 50.

begann ungefähr wo Phylarchos aufhörte.

Diod. XXVI 4 p. 513 (ol. 140, 4. 217) *Μηνόδοτος δὲ ὁ Περίνθιος τὰς Ἑλληνικὰς πραγματείας ἔγραψεν ἐν βιβλίοις πεντεκαίδεκα.* vgl. § 40.

§ 51. Specialgeschichten.

Demetrios von Byzantion.

Müller FHG II 624. vgl. W. Ad. Schmidt, de fontibus veterum auctorum in enarrandis expeditionibus a Gallis in Macedoniam atque Graeciam susceptis. Berl. 1834.

Diog. L. V 83 *γεγόνασι δὲ Δημήτριοι ἀξιόλογοι εἴκοσι . . . τρίτος Βυζάντιος περιπατητικός . . . . ἕβδομος Βυζάντιος, ἐν τρισκαίδεκα βιβλίοις γεγραφὼς τὴν Γαλατῶν διάβασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν καὶ ἐν ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον καὶ Πτολεμαῖον καὶ τὴν Λιβύης ὑπ' αὐτῶν διοίκησιν.*

Nymphis von Herakleia.

Müller FHG III 12.

Suidas: *Νύμφις Ξεναγόρου Ἡρακλεώτης ἐκ Πόντου, ἱστορικός. περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδ', περὶ Ἡρακλείας βιβλία ιγ'. ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ κατὰ τοὺς ἐπιγόνους καὶ μέχρι τοῦ τρίτου Πτολεμαίου* (246).

Memnon c. 11 (Phot. bibl. cod. 224 p. 226[a] 25 Bk. Müller FHG III 533) *οἱ δὲ περιλειπόμενοι τῶν ἀπὸ Ἡρακλείας φυγάδων, Νύμφιδος, καὶ αὐτοῦ ἑνὸς ὑπάρχοντος τούτων, κάθοδον βουλεύσαντος αὐτοῖς καὶ ῥᾳδίαν εἶναι ταύτην ἐπιδεικνύντος, εἰ μηδὲν ὧν οἱ πρόγονοι ἀπεστέρηντο αὐτοὶ φανεῖεν διοχλοῦντες ἀναλήψεσθαι, ἔπεισέ τε σὺν τῷ ῥᾴστῳ, καὶ τῆς καθόδου ὃν ἐβούλευσε τρόπον γεγενημένης οἵ τε καταχθέντες καὶ ἡ δεξαμένη πόλις ἐν ὁμοίαις ἡδοναῖς καὶ εὐφροσύναις ἀνεστρέφοντο, φιλοφρόνως τῶν τε ἐν τῇ πόλει τούτους δεξιωσαμένων καὶ μηδὲν τῶν εἰς αὐτάρκειαν αὐτοῖς συντελούντων παραλελοιπότων. καὶ οἱ Ἡρακλεῶται τὸν εἰρημένον τρόπον τῆς παλαιᾶς εὐγενείας καὶ πολιτείας ἐπελαμβάνοντο* (281).

Eb. c. 24 (p. 228[b] Bk. p. 538 M.) *διὰ ταῦτα πάλιν οἱ Γαλάται εἰς τὴν Ἡρακλεῶτιν ἔπεμψαν στράτευμα καὶ ταύτην*

Digitized by Google

§ 51. *κατέτρεχον, μέχρις ἂν οἱ Ἡρακλεῶται διεπρεσβεύσαντο πρὸς αὐτούς. Νύμφις δὲ ἦν ὁ ἱστορικὸς ὁ κορυφαῖος τῶν πρέσβεων· ὃς τὸν μὲν στρατὸν ἐν τῷ κοινῷ χρυσοῖς πεντακισχιλίοις, τοὺς δὲ ἡγεμόνας ἰδίᾳ διακοσίοις ὑποθεραπεύσας τῆς χώρας ἀπαναστῆναι παρεσκεύασεν* (c[a] 240).

Nymphis war für die früheren abschnitte Memnons quelle.

Neanthes von Kyzikos.

Müller FHG III 2.

Suidas: *Νεάνθης Κυζικηνός, ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου. ἔγραψε περὶ κακοζηλίας ῥητορικῆς καὶ λόγους πολλοὺς πανηγυρικούς.*

N. schrieb u. a. *Ἑλληνικά. ὧροι* (*Κυζικηνῶν*). *τὰ κατὰ πόλιν μυθικά. περὶ ἐνδόξων ἀνδρῶν. αἱ περὶ Ἄτταλον ἱστορίαι.* Attalos I regierte 241—197.

Ἐν τῇ γ' καὶ δ' τῶν Ἑλληνικῶν ἱστοριῶν handelte Neanthes von Themistokles (fr. 2. 3).

Fr. 32 b, Plut. Symp. I 10, 2 p. 628[b] *Νεάνθη τὸν Κυζικηνὸν ἔφη λέγειν ἐν τοῖς κατὰ πόλιν μυθικοῖς, ὅτι τῇ Αἰαντίδι φυλῇ γέρας ὑπῆρχε τὸ μὴ κρίνεσθαι τὸν* [*αὐτῆς*] *χορὸν ἔσχατον † .... μηδὲ ἡμεῖς τὴν Νεάνθους ἐν ἐνίοις εὐχέρειαν ἀποδράσεως ποιησόμεθα πρόφασιν.*

Zenon von Rhodos.

Müller FHG III 174.

Diog. L. VII 35 *γεγόνασι δὲ Ζήνωνες ὀκτώ ..... τρίτος Ῥόδιος*, (*ὁ*) *τὴν ἐντόπιον γεγραφὼς ἱστορίαν ἐνιαίαν* (*ἐνιαυσιαίαν* Müller).

Polyb. XVI 14 (201 v. Ch.) *ἐπεὶ δέ τινες τῶν τὰς κατὰ μέρος γραφόντων πράξεις γεγράφασι καὶ περὶ τούτων τῶν καιρῶν ..., βούλομαι βραχέα περὶ αὐτῶν διαλεχθῆναι. ποιήσομαι δὲ τοὺς λόγους οὐ πρὸς ἅπαντας, ἀλλ' ὅσους ὑπολαμβάνω μνήμης ἀξίους εἶναι καὶ διαστολῆς· εἰσὶ δ' οὗτοι Ζήνων καὶ Ἀντισθένης οἱ Ῥόδιοι. τούτους δὲ ἀξίους εἶναι κρίνω διὰ πλείους αἰτίας. καὶ γὰρ κατὰ τοὺς καιροὺς γεγόνασι καὶ περι⟨ττῶς ἐν τῇ σφετέρᾳ πατρίδι* Hultsch⟩ *πεπολίτευνται, καὶ καθόλου πεποίηνται τὴν πραγματείαν οὐκ ὠφελείας χάριν ἀλλὰ δόξης καὶ τοῦ καθήκοντος ἀνδράσι πολιτικοῖς* ss. bis c. 20.

Diod. V 56 *περὶ μὲν οὖν τῶν ἀρχαιολογουμένων παρὰ Ῥοδίοις οὕτω τινὲς μυθολογοῦσιν· ἐν οἷς ἐστὶ καὶ Ζήνων ὁ τὰ περὶ ταύτης συνταξάμενος.*

Digitized by Google

§ 52. Geschichtschreiber der römisch-punischen kriege.

Philinos von Akragas.

Müller FHG III 17.

Polyb. I 14 vom ersten punischen kriege: *οὐχ ἧττον δὲ τῶν προειρημένων παρωξύνθην ἐπιστῆσαι τούτῳ τῷ πολέμῳ καὶ διὰ τὸ τοὺς ἐμπειρότατα δοκοῦντας γράφειν ὑπὲρ αὐτοῦ, Φιλῖνον καὶ Φάβιον, μὴ δεόντως ἡμῖν ἀπηγγελκέναι τὴν ἀλήθειαν. ἑκόντας μὲν οὖν ἐψεῦσθαι τοὺς ἄνδρας οὐχ ὑπολαμβάνω, στοχαζόμενος ἐκ τοῦ βίου καὶ τῆς αἱρέσεως αὐτῶν· δοκοῦσι δέ μοι πεπονθέναι τι παραπλήσιον τοῖς ἐρῶσι. διὰ γὰρ τὴν αἵρεσιν καὶ τὴν ὅλην εὔνοιαν Φιλίνῳ μὲν πάντα δοκοῦσιν οἱ Καρχηδόνιοι πεπρᾶχθαι φρονίμως, καλῶς, ἀνδρωδῶς, οἱ δὲ Ῥωμαῖοι τἀναντία, Φαβίῳ δὲ τοὔμπαλιν τούτων* ss. bis c. 15 § 12.

III 26 nach mitteilung der älteren römisch-karthagischen verträge: *τίς οὐκ ἂν εἰκότως θαυμάσειε Φιλίνου τοῦ συγγραφέως, οὐ διότι ταῦτ' ἠγνόει (τοῦτο μὲν γὰρ οὐ θαυμαστόν, ἐπεὶ καθ' ἡμᾶς ἔτι καὶ Ῥωμαίων καὶ Καρχηδονίων οἱ πρεσβύτατοι καὶ μάλιστα δοκοῦντες περὶ τὰ κοινὰ σπουδάζειν ἠγνόουν)· ἀλλὰ πόθεν ἢ πῶς ἐθάρρησε γράψαι τἀναντία τούτοις, διότι Ῥωμαίοις καὶ Καρχηδονίοις ὑπάρχοιεν συνθῆκαι, καθ' ἃς ἔδει Ῥωμαίους μὲν ἀπέχεσθαι Σικελίας ἁπάσης, Καρχηδονίους δ' Ἰταλίας, καὶ διότι ὑπερέβαινον Ῥωμαῖοι τὰς συνθήκας καὶ τοὺς ὅρκους, ἐπεὶ ἐποιήσαντο τὴν πρώτην εἰς Σικελίαν διάβασιν, μήτε γεγονότος μήθ' ὑπάρχοντος τὸ παράπαν ἐγγράφου τοιούτου μηδενός. ταῦτα γὰρ ἐν τῇ δευτέρᾳ λέγει βίβλῳ διαρρήδην. περὶ ὧν ἡμεῖς ἐν τῇ παρασκευῇ τῆς ἰδίας πραγματείας μνησθέντες, εἰς τοῦτον ὑπερεθέμεθα τὸν καιρὸν κατὰ μέρος περὶ αὐτῶν ἐξεργάσασθαι διὰ τὸ καὶ πλείους διεψεῦσθαι τῆς ἀληθείας ἐν τούτοις, πιστεύσαντας τῇ Φιλίνου γραφῇ.*

Philinos wird citiert Diod. XXIII 8 p. 502 (*ὅτι . . . Φιλῖνος ὁ Ἀκραγαντῖνος ἱστορικὸς ἀνεγράψατο*). XXIV 11, 1 p. 509 (XXIII 17 p. 505 *Φίλιστος δὲ ἱστορικὸς ἦν*?).

Digitized by Google

§ 52. Hannibalischer krieg:

Silenos von Kalakte.

Müller FHG III 100.

Corn. Nep. Hann. 13 *huius belli gesta multi memoriae prodiderunt, sed ex his duo qui cum eo (Hannibale) in castris fuerunt simulque vixerunt, quamdiu fortuna passa est, Silenus et Sosilus Lacedaemonius. atque hoc Sosilo Hannibal litterarum Graecarum usus est doctore.*

Silenos' geschichte des Hannibalischen krieges wurde ausgeschrieben von L. Coelius Antipater und daher von Cicero und Livius angeführt. vgl. quellenk. II § 12 s. 35.

Liv. XXVI 49 bei der einnahme von Neukarthago: *si auctorem Graecum sequar Silenum.*

Cic. de divin. I 24 *Hannibalem Coelius scribit ..... hoc item in Sileni, quem Coelius sequitur, Graeca historia est: is autem diligentissime res Hannibalis persecutus est: Hannibalem cum cepisset Saguntum visum esse in somnis a Iove in deorum concilium vocari ss.*

Silenos schrieb auch *Σικελικά*. Athen. XII p. 542ª *Σειληνὸς δ' ὁ Καλακτῖνος ἐν τρίτῳ Σικελικῶν.*

Sosilos.

Müller FHG III 99.

Diod. XXVI 4 p. 513 *Μηνόδοτος δὲ ὁ Περίνθιος τὰς Ἑλληνικὰς πραγματείας ἔγραψεν ἐν βιβλίοις ιε'* (o. s. 98), *Σώσιλος δὲ ὁ Ἴλιος τὰ περὶ Ἀννίβαν ἔγραψεν ἐν βιβλίοις ζ'.*

Polyb. III 20 *οἱ δὲ Ῥωμαῖοι, προσπεπτωκυίας αὐτοῖς ἤδη τῆς Ζακανθαίων ἁλώσεως, οὐ μὰ Δία περὶ τοῦ πολέμου τότε διαβούλιον ἦγον, καθάπερ ἔνιοι τῶν συγγραφέων φασί, προσκατατάττοντες ἔτι καὶ τοὺς εἰς ἑκάτερα ῥηθέντας λόγους, πάντων ἀτοπώτατον πρᾶγμα ποιοῦντες ..... πρὸς μὲν οὖν τὰ τοιαῦτα τῶν συγγραμμάτων, οἷα γράφει Χαιρέας καὶ Σώσιλος, οὐδὲν ἂν δέοι πλέον λέγειν· οὐ γὰρ ἱστορίας, ἀλλὰ κουρεακῆς καὶ πανδήμου λαλιᾶς ἔμοιγε δοκοῦσι τάξιν ἔχειν καὶ δύναμιν.* vgl. s. 88.

Diokles von Peparethos

(Müller FHG III 74. vgl. Schwegler RG I 411—415)
verfaszte etwa um den anfang des Hannibalischen kriegs

Digitized by Google

eine *κτίσις Ῥώμης*, welche Q. Fabius Pictor ausgeschrieben § 52. haben soll.

Plut. Romul. 3 *τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους μάρτυρας τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς Ἕλληνας ἐξέδωκε Διοκλῆς Πεπαρήθιος, ᾧ καὶ Φάβιος Πίκτωρ ἐν τοῖς πλείστοις ἐπηκολούθηκεν.*

Eb. 8 *ὧν τὰ πλεῖστα καὶ τοῦ Φαβίου λέγοντος καὶ τοῦ Πεπαρηθίου Διοκλέους, ὃς δοκεῖ πρῶτος ἐκδοῦναι Ῥώμης κτίσιν, ὕποπτον μὲν ἐνίοις ἐστὶ τὸ δραματικὸν καὶ πλασματῶδες κτέ.*

§ 53. Alexandrinische und Pergamenische gelehrsamkeit.

G. Parthey, das alexandrinische museum. Berl. 1838. F. Ritschl, die alex. bibliotheken. Berl. 1838 (opusc. ph. I 1).

Ptolemaeos Lagi reg. 323—285 † 283.
Ptol. II Philadelphos 285—246.
Ptol. III Euergetes 246—221.
Ptol. IV Philopator 221—204.
Ptol. V Epiphanes 204—181.
Ptol. VI Philometor 181—146.

Ptolemaeos II Philadelphos stiftete im anfange seiner regierung die bibliothek des museums und ernannte Zenodotos zum bibliothekar. Die folgenden bibliothekare waren Kallimachos, Eratosthenes, Apollonios, Aristophanes, Aristarchos.

Sosibios von Lakedaemon.

Müller FHG II 625. fragm. chronogr. p. 133. Io. Brandis, de temp. gr. antiqu. rationib. p. 27.

Suidas: *Σωσίβιος Λάκων, γραμματικὸς τῶν ἐπιλυτικῶν καλουμένων. * * ἐν τούτοις δὲ ἱστορεῖ καὶ τοῦτο, ὅτι εἰδός τι κωμῳδίας ἐστὶ καλούμενον δικηλιστῶν καὶ μιμηλῶν. περὶ τῶν [μιμηλῶν] ἐν Λακωνικῇ ἱστορουμένων παιδιῶν, καὶ ἄλλα.*

Athen. IV p. 144^{e} *Θεόφραστος δ' ἐν τῷ πρὸς Κάσανδρον περὶ βασιλείας (εἰ γνήσιον τὸ σύγγραμμα· πολλοὶ γὰρ αὐτό φασιν εἶναι Σωσιβίου, εἰς ὃν Καλλίμαχος ὁ ποιητὴς ἐπίνικον ἐλεγειακὸν ἐποίησε) τοὺς Περσῶν φησὶ βασιλεῖς κτέ.*

Athen. XI p. 493^{d}—494^{b} erzählt von einem scherze, den Ptolemaeos Philadelphos sich mit Sosibios (*ὁ λυτικὸς*) bei der gehaltauszahlung machte.

Sosibios schrieb u. a. *ὁμοιότητες, περὶ τῶν ἐν Λακεδαίμονι θυσιῶν, περὶ Ἀλκμᾶνος* wenigstens 3 bb., *χρόνων ἀναγραφή.*

Digitized by Google

§ 53. Censor. de die nat. 21 *a priore scilicet cataclysmo, quem dicunt et Ogygii, ad Inachi regnum annos circiter CCCC ⟨computarunt, hinc ad excidium Troiae annos DCCC⟩, hinc ad olympiadem primam paulo plus CCCC. quos solos, quamvis mythici temporis postremos, tamen quia a memoria scriptorum proximos quidam certius definire voluerunt. et quidem Sosibius scripsit esse CCCXCV, Eratosthenes autem septem et quadringentos, Timaeus CCCCXVII, Crates DXIIII, et praeterea multi diverse, quorum etiam ipsa dissensio incertum esse declarat.*

Clem. Al. strom. I 21, 117 p. 389 P. *Σωσίβιος δὲ ὁ Λάκων ἐν χρόνων ἀναγραφῇ κατὰ τὸ ὄγδοον ἔτος τῆς Χαρίλλου τοῦ Πολυδέκτου βασιλείας Ὁμήρου φέρει. βασιλεύει μὲν οὖν Χάριλλος ἔτη ἑξήκοντα τέσσαρα, μεθ' ὃν υἱὸς Νίκανδρος ἔτη τριάκοντα ἐννέα· τούτου κατὰ τὸ τριακοστὸν τέταρτον ἔτος τεθῆναί φησι τὴν πρώτην ὀλυμπιάδα, ὡς εἶναι ἐννενήκοντά που ἐτῶν πρὸ τῆς τῶν Ὀλυμπίων θέσεως Ὅμηρον.*

Also rechnete Sosibios die zerstörung von Troja = 1171 v. Ch.; das königthum des Charilaos = 873—810; des Nikandros = 809—771; Nikandros' 34s jahr = ol. 1 = 776.

Athen. XIV p. 635e *ἐγένετο δὲ ἡ θέσις τῶν Καρνείων κατὰ τὴν ἕκτην καὶ εἰκοστὴν ὀλυμπιάδα* (676 v. Chr.), *ὡς Σωσίβιός φησιν ἐν τῷ περὶ χρόνων.* dasselbe datum hat Sex. Iulius Africanus *Ὀλυμπιάδων ἀναγραφή* p. 9 Rutgers.

Kallimachos

verfaszte um 247 die *πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ' καὶ ρ'.* vgl. C. Wachsmuth, die pinakographische thätigkeit des Kallimachos. Philol. XVI 653.

Hermippos von Smyrna.

Müller FHG III 35. fr. ed. Adalb. Łożyński. Bonn 1832.

Hermippos wird als peripatetiker bezeichnet und war schüler von Kallimachos. (Athen. II p. 58f. V p. 213f. XV p. 696f *Ἕρμιππος ὁ Καλλιμάχειος.*) er schrieb *βίοι*, insbesondere *νομοθετῶν*, wenigstens 6 bb., *τῶν ἑπτὰ σοφῶν*; von philosophen und rhetoren (Pythagoras, Aristoteles, Isokrates u. a.) und deren schülern, vgl. Hieronymus ob. § 46 s. 92.

Digitized by Google

Joseph. w. Apion I 22 p. 198 s. (fr. 21) *πολλοὶ δὲ τὰ περὶ αὐτὸν (Πυθαγόραν) ἱστορήκασι, καὶ τούτων ἐπισημότατός ἐστιν Ἕρμιππος, ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπιμελής.* § 53.

Academicor. philosophor. index Herculanensis (ed. Franc. Bücheler Greifsw. 1869) col. XI 4 *Ἕρμιππος ἐν τ⟨ῷ περὶ τῶν⟩ ἀπὸ φιλοσοφία⟨ς εἰς τυραννίδ⟩ας καὶ δυναστε⟨ίας μεθεσ⟩τηκότων.* Gompertz Jen. LZ. 1875, 603.

Dionys. Isaeos 1 p. 586 (fr. 58) *οὐδὲ γὰρ ὁ τοὺς Ἰσοκράτους μαθητὰς ἀναγράψας Ἕρμιππος, ἀκριβὴς ἐν τοῖς ἄλλοις γενόμενος, ὑπὲρ τοῦδε τοῦ ῥήτορος (Ἰσαίου) οὐδὲν εἴρηκεν ἔξω δυοῖν τούτων, ὅτι διήκουσε μὲν Ἰσοκράτους, καθηγήσατο δὲ Δημοσθένους, συνεγένετο δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων.* vgl. Harpokr. u. *Ἰσαῖος* (fr. 57).

Nicht zu verwechseln mit dem schüler des Kallimachos ist Hermippos von Berytos, ein freigelassener, der unter Hadrian lebte und *περὶ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων* schrieb. vgl. C. Wachsmuth symb. phil. Bonn. p. 140. A. Daub jhb. suppl. XI 436[a].

Istros.

Müller FHG I LXXXV. XC. 418.

Suidas: *Ἴστρος Μενάνδρου ἢ Ἴστρου, Κυρηναῖος ἢ Μακεδών, συγγραφεύς, Καλλιμάχου δοῦλος καὶ γνώριμος. Ἕρμιππος δὲ αὐτόν φησι Πάφιον ἐν τῷ β' τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.*

Istros schrieb unter andern ein sammelwerk u. d. t. *Συναγωγαί*, dessen teile als *Ἀττικά* (*Ἄτακτα* Wilamowitz) *Ἀργολικά Ἠλιακά* citiert werden, *ἀποικίαι Αἰγυπτίων, ὑπομνήματα, πρὸς Τίμαιον ἀντιγραφαί.*

Polemon fr. 54 b. Athen. IX p. 387[f] *Πολέμων ὁ περιηγητὴς Ἴστρον τὸν Καλλιμάχειον συγγραφέα εἰς τὸν ὁμώνυμον κατεπόντου ποταμόν.*

Eratosthenes von Kyrene.

G. Bernhardy Eratosthenica. Berl. 1822. Ders. in Ersch u. Gruber Encyklop. I 36 s. 221. Müller fragm. chronogr. p. 182. Die geograph. fragm. des E. hgg. von Hugo Berger. Leipz. 1880.

Suidas: *Ἐρατοσθένης Ἀγλαοῦ (οἱ δὲ Ἀμβροσίου) Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος τοῦ Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιη-*

Digitized by Google

§ 53. τοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου καὶ διέτριψε μέχρι τοῦ πέμπτου. διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσαντα Βῆτα ἐπεκλήθη· οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι Πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκϛ′ ὀλυμπιάδι, καὶ ἐτελεύτησεν π′ ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον, οὗ πάλιν Ἀρίσταρχος μαθητής. — μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἀριστις. ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, ἀστρονομίαν ἢ καταστερισμούς, περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πολλούς, καὶ γραμματικὰ συχνά.

Vgl. Suidas u. Ἀπολλώνιος α′: Ἀ. — μαθητὴς Καλλιμάχου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐεργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

Sueton. de grammat. 10 *philologi appellationem assumpsisse videtur* (*L. Aelius*), *quia sic ut Eratosthenes, qui primus hoc cognomen sibi vindicavit, multiplici variaque doctrina censebatur.*

Strab. XVII p. 838 Κυρηναῖοι δ' εἰσὶ καὶ Καλλίμαχος καὶ Ἐρατοσθένης, ἀμφότεροι τετιμημένοι παρὰ τοῖς Αἰγυπτίων βασιλεῦσιν, ὁ μὲν ποιητὴς ἅμα καὶ περὶ γραμματικὴν ἐσπουδακώς, ὁ δὲ καὶ ταῦτα καὶ περὶ φιλοσοφίαν καὶ τὰ μαθήματα εἴ τις ἄλλος διαφέρων. vgl. I p. 15.

Eratosthenes war geboren ol. 126, 2. 275 und starb einundachtzig jahre alt ol. 146, 3. 194. seine berühmtesten werke waren: Γεωγραφικά 3 bb. Χρονογραφίαι (bis zum tode von Ptolemaeos III Euergetes ol. 139, 4. 221?); mit diesen verbunden Ὀλυμπιονῖκαι.

Plin. NH II 247 *universum autem circuitum* (*terrae*) *Eratosthenes, in omnium quidem litterarum subtilitate et in hac utique praeter ceteros sollers, quem cunctis probari video, ducentorum quinquaginta duorum milium stadiorum prodidit.*

Fr. 3 (Clem. Al. strom. I 21 § 138 p. 402 Pott) Ἐρατοσθένης δὲ τοὺς χρόνους ὧδε ἀναγράφει·

Digitized by Google

§ 53.

	jahre	vor ol. 1	v. Ch.
ἀπὸ μὲν Τροίας ἁλώσεως		407	1184/3
ἐπὶ Ἡρακλειδῶν κάθοδον ἔτη ὀγδοήκοντα	80	327	1104/3
ἐντεῦθεν δὲ ἐπὶ τὴν Ἰωνίας κτίσιν ἔτη ἑξήκοντα	60	267	1044/3
τὰ δὲ τούτοις ἑξῆς, ἐπὶ μὲν τὴν ἐπιτροπίαν τὴν Λυκούργου ἔτη ἑκατὸν πεντήκοντα ἐννέα	159	108	885/4
ἐπὶ δὲ (τὸ) προηγούμενον ἔτος τῶν πρώτων Ὀλυμπίων ἔτη ἑκατὸν ὀκτώ	108	ol. 1,1	777/6
ἀφ' ἧς ὀλυμπιάδος ἐπὶ τὴν Ξέρξου διάβασιν ἔτη διακόσια ἐνενήκοντα ἑπτά	297	ol. 75,1	480/79
ἀφ' ἧς ἐπὶ τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου ἔτη τεσσαράκοντα ὀκτώ	48	ol. 87,1	432/1
καὶ ἐπὶ τὴν κατάλυσιν καὶ Ἀθηναίων ἦτταν ἔτη εἴκοσιν ἑπτὰ	27	ol. 93,4	405/4
καὶ ἐπὶ τὴν ἐν Λεύκτροις μάχην ἔτη τριάκοντα τέσσαρα	34	ol. 102,2	371/0
μεθ' ἣν ἐπὶ τὴν Φιλίππου τελευτὴν ἔτη τριάκοντα πέντε	35	ol. 111,1	336/5
μετὰ δὲ ταῦτα ἐπὶ τὴν Ἀλεξάνδρου μεταλλαγὴν ἔτη δώδεκα	12	ol. 114,1	324/3
	Summa 860 jahre.		

Plut. Lykurg. 1 οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν Σπάρτῃ βεβασιλευκότων ἀναλεγόμενοι τὸν χρόνον, ὥσπερ Ἐρατοσθένης καὶ Ἀπολλόδωρος, οὐκ ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης ὀλυμπιάδος (Λυκοῦργον).

Die troische aera des Eratosthenes legte Cato zu grunde. s. quellenk. II § 7 s. 21.

Polemon von Ilion.

Müller FHG III 108. Polemonis fragmenta coll. L. Preller. Leipz. 1838.

Suidas: *Πολέμων Εὐηγέτου Ἰλιεύς, ⟨ἐκ⟩ κώμης Γλυκείας ὄνομα, Ἀθήνησι δὲ πολιτογραφηθείς [διὸ ἐπεγράφετο Ἑλλαδικός], ὁ κληθεὶς περιηγητής, ἱστορικός. γέγονε δὲ κατὰ Πτολεμαῖον τὸν ἐπιφανῆ· κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ, οὗ καὶ διήκουσε, καὶ τῷ Ῥοδίῳ Παναιτίῳ. ἔγραψε περιήγησιν Ἰλίου ἐν βιβλίοις γ', κτίσεις τῶν ἐν Φωκίδι πόλεων καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας αὐτῶν, κτίσεις τῶν ἐν Πόντῳ πόλεων, περὶ τῶν ἐν Λακεδαίμονι (π. τ. ἐ. Λ. ἀναθημάτων* Athen. XIII p. 574c), *καὶ ἄλλα πλεῖστα· ἐν οἷς καὶ κοσμικὴν περιήγησιν ἤτοι γεωγραφίαν.*

Digitized by Google

§ 53. Athen. VI p. 234[d] *Πολέμων γοῦν ὁ εἴτε Σάμιος ἢ Σικυώνιος εἴτ' Ἀθηναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλείδης λέγει καταριθμούμενος αὐτὸν καὶ ἀπ' ἄλλων πόλεων (ἐπεκαλεῖτο δὲ καὶ στηλοκόπας, ὡς Ἡρόδικος ὁ Κρατήτειος εἴρηκε), γράψας περὶ παρασίτων φησὶν οὕτως . .* (fr. 78.)

Plutarch. Symp. V 2 p. 675[b] (fr. 27) *τοῖς δὲ Πολέμωνος τοῦ Ἀθηναίου περὶ τῶν ἐν Δελφοῖς θησαυρῶν οἶμαι ὅτι πολλοῖς ὑμῶν ἐντυγχάνειν ἐπιμελές ἐστι, καὶ χρή, πολυμαθοῦς καὶ οὐ νυστάζοντος ἐν τοῖς Ἑλληνικοῖς πράγμασιν ἀνδρός.*

Steph. B. p. 249, 11 *Δωδώνη· — προσθετέον οὖν τῷ περιηγητῇ Πολέμωνι ἀκριβῶς τὴν Δωδώνην ἐπισταμένῳ* (fr. 30).

Polemon schrieb ferner *περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως* 4 bb., *ἀναγραφὴ τῶν ἐπωνύμων τῶν δήμων καὶ φυλῶν, περὶ τῆς ἱερᾶς ὁδοῦ, περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων, περὶ Σαμοθρᾴκης, πρὸς Νεάνθην ἀντιγραφαί, πρὸς Ἀδαῖον καὶ Ἀντίγονον* wenigstens 6 bb., *πρὸς Τίμαιον* wenigstens 12 bb., *περὶ τῆς Ἀθήνησιν Ἐρατοσθένους ἐπιδημίας* u. a.

Athen. XI p. 479[f] *Πολέμων γοῦν ἢ ὅστις ἐστὶν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδικόν, περὶ τοῦ ἐν Ὀλυμπίᾳ λέγων Μεταποντίνων νάον γράφει καὶ ταῦτα* (fr. 20). XIII p. 606[a] *Πολέμων δὲ ἢ ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδικόν* (fr. 28).

Apollodoros von Athen.

Müller FHG I xxxviii. 428. Welker, der ep. cyklus 1[2] 83. Th. Gompertz Jen. L.-Z. 1875 s. 605 ff. Herm. Diels, untersuchungen üb. Ap. chronika. Rh. mus. xxxi 1. 1875.

Auf dem chronologischen systeme des Eratosthenes beruht die chronik Apollodors.

Suidas: *Ἀπολλόδωρος Ἀσκληπιάδου γραμματικός, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.*

[Skymnos] *Περιήγ.* 16 (Geogr. gr. min. I 196 s. Müller):

τοῖς ἐν Περγάμῳ
βασιλεῦσιν, ὧν ἡ δόξα καὶ τεθνηκότων
παρὰ πᾶσιν ἡμῖν ζῶσα διὰ παντὸς μένει,
τῶν Ἀττικῶν τις γνησίων τε φιλολόγων,
γεγονὼς ἀκουστὴς Διογένους τοῦ Στωικοῦ,

Digitized by Google

§ 53.

συνεσχολακὼς δὲ πολὺν Ἀριστάρχῳ χρόνον,
συνετάξατ' ἀπὸ τῆς Τρωικῆς ἁλώσεως
χρονογραφίαν στοιχοῦσαν ἄχρι τοῦ νῦν βίου.
ἔτη δὲ τετταράκοντα πρὸς τοῖς χιλίοις
ὡρισμένως ἐξέθετο, καταριθμούμενος
πόλεων ἁλώσεις, ἐκτοπισμοὺς στρατοπέδων,
μεταναστάσεις ἐθνῶν, στρατείας βαρβάρων,
ἐφόδους περαιώσεις τε ναυτικῶν στόλων,
θέσεις ἀγώνων, συμμαχίας, σπονδάς, μάχας,
πράξεις βασιλέων, ἐπιφανῶν ἀνδρῶν βίους,
φυγάς, στρατείας, καταλύσεις τυραννίδων,
πάντων ἐπιτομὴν τῶν χύδην εἰρημένων.
μέτρῳ δὲ ταύτην ἐκτιθέναι προείλετο,
τῷ κωμικῷ δέ, τῆς σαφηνίας χάριν,
εὐμνημόνευτον ἐσομένην οὕτως ὁρῶν. —
Κεῖνος μὲν οὖν κεφάλαια συναθροίσας χρόνων
εἰς βασιλέως ἀπέθετο φιλαδέλφου χάριν,
ἃ καὶ διὰ πάσης γέγονε τῆς οἰκουμένης,
ἀθάνατον ἀπονέμοντα δόξαν Ἀττάλῳ
τῆς πραγματείας ἐπιγραφὴν εἰληφότι.

Atalos II Philadelphos war könig von Pergamon 159—138. Apollodors chronik umfaszte die Jahre 1184—144 v. Ch. (— ol. 159, 1).

Diod. I 5 *τῶν δὲ χρόνων — τοὺς μὲν πρὸ τῶν Τρωικῶν οὐ διοριζόμεθα βεβαίως διὰ τὸ μηδὲν παράπηγμα παρειληφέναι περὶ τούτων πιστευόμενον, ἀπὸ δὲ τῶν Τρωικῶν ἀκολούθως Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ τίθεμεν ὀγδοήκοντ' ἔτη πρὸς τὴν κάθοδον τῶν Ἡρακλειδῶν, ἀπὸ δὲ ταύτης ἐπὶ τὴν πρώτην ὀλυμπιάδα δυσὶ λείποντα τῶν τριακοσίων καὶ τριάκοντα, συλλογιζόμενοι τοὺς χρόνους ἀπὸ τῶν ἐν Λακεδαίμονι βασιλευσάντων.*

Diodor citiert Apollodor bei litterarhistorischen daten: XIII 103 *Α. ὁ τὴν χρονικὴν σύνταξιν πραγματευσάμενος.* 108 *Ἀπολλόδωρος ὁ Ἀθηναῖος.*

Strab. XIV p. 677 (fr. 125) *ὁ γὰρ Ἀπολλόδωρος ἐν τοῖς περὶ νεῶν* (den Homerischen schiffskatalog) *ἔτι καὶ τοιαῦτα λέγει* (von der dreiseitigen gestalt Kleinasiens) . . . *ἀμαθία τὸ λέγειν τριγωνοειδὲς τὸ τοιοῦτον τετράπλευρον, οὐδὲ χωρογραφικόν. ὁ δὲ καὶ χωρογραφίαν ἐξέδωκεν ἐν κωμικῷ μέτρῳ γῆς περίοδον ἐπιγράψας.*

Digitized by Google

§ 53. Bei Steph. B. wird öfters (z. b. p. 648, 5 u. *Τλλεῖς*) angeführt *Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ*; p. 241, 11 citiert Stephanos: *Ἀπολλόδωρος ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος 'τὴν δὲ χώραν ἔχουσι Λυμαῖοι'.*

Apollodor schrieb ferner u. a. *περὶ θεῶν* 24 bb.

Die unvollständig erhaltene *βιβλιοθήκη* 3 bb. ist von jüngerer hand, im 2. jhdt. v. Ch. verfaszt.

K. Robert, de Apollod. bibl. Berl. 1873. ausg. v. Chr. G. Heyne. Gött. (1782) 1803. K. Müller fr. hist. gr. I 104. Rud. Hercher. Berl. 1874.

Satyros.

Müller FHG III 159. Westermann quaest. Demosth. IV 32. Bernays, Theophr. schr. üb. frömmigkeit s. 32. 161.

Satyros *ὁ περιπατητικός*, schüler von Aristarch, schrieb (unter Ptolemaeos Philometor um 160) *βίοι ἐνδόξων ἀνδρῶν.*

Phot. bibl. cod. 190 p. 151[b] 21 (aus Ptolem. Chennos) *Σάτυρος δ' ὁ Ἀριστάρχου γνώριμος ζῆτα ἐκαλεῖτο διὰ τὸ ζητητικὸν αὐτοῦ.*

Hieronym. adv. Iovinian. II 14 *refert Satyrus, qui illustrium virorum scribit historias* . . . vgl. o. s. 92.

Darin waren enthalten biographien von feldherren wie Alkibiades, könig Philipp II, von rednern, philosophen und dichtern.

Athen. VI p. 248[d] . . . *Σάτυρος ὁ περιπατητικὸς ἐν τῷ Φιλίππου βίῳ* u. ö.

Vit. X or. p. 847[a] vom tode des Demosthenes: *Σάτυρος ὁ συγγραφεύς* . . .

Diog. Laert. VIII 40. IX 26 citiert *Ἡρακλείδης ἐν τῇ τῶν Σατύρου βίων ἐπιτομῇ.*

§ 54. Polybios von Megalopolis.

(geb. ca. 208 † ca. 127 v. Ch.) schrieb über Philopoemen in 3 bb. bald nach dessen tode (ol. 149, 1/2. 183).

Polyb. X 21 *εἰ μὲν οὖν μὴ κατ' ἰδίαν ἐπεποιήμεθα τὴν περὶ αὐτοῦ (Φιλοποίμενος) σύνταξιν, ἐν ᾗ διεσαφοῦμεν καὶ τίς ἦν καὶ τίνων, καὶ τίσιν ἀγωγαῖς ἐχρήσατο νέος ὤν, ἀναγκαῖον ἦν ὑπὲρ ἑκάστου τῶν προειρημένων φέρειν ἀπολογισμόν. ἐπεὶ δὲ πρότερον ἐν τρισὶ βιβλίοις ἐκτὸς ταύτης τῆς συντάξεως τὸν ὑπὲρ αὐτοῦ πεποιήμεθα λόγον, τήν τε παιδικὴν ἀγωγὴν διασαφοῦντες καὶ τὰς ἐπιφανεστάτας*

Digitized by Google

πράξεις, δῆλον ὡς ἐν τῇ νῦν ἐξηγήσει πρέπον ἂν εἴη τῆς § 54.
μὲν νεωτερικῆς ἀγωγῆς καὶ τῶν νεωτερικῶν ζήλων κατὰ μέρος ἀφελεῖν, τοῖς δὲ κατὰ τὴν ἀκμὴν αὐτοῦ κεφαλαιωδῶς ἐκεῖ δεδηλωμένοις ἔργοις προσθεῖναι καὶ κατὰ μέρος, ἵνα τὸ πρέπον ἑκατέρᾳ τῶν συντάξεων τηρῶμεν. ὥσπερ γὰρ ἐκεῖνος ὁ τόπος ὑπάρχων ἐγκωμιαστικὸς ἀπήτει τὸν κεφαλαιώδη καὶ μετ' αὐξήσεως τῶν πράξεων ἀπολογισμόν, οὕτως ὁ τῆς ἱστορίας, κοινὸς ὢν ἐπαίνου καὶ ψόγου, ζητεῖ τὸν ἀληθῆ καὶ τὸν μετ' ἀποδείξεως καὶ τῶν ἑκάστοις παρεπομένων συλλογισμῶν.

Diese schrift hat Plutarch im leben Philopoemēns benutzt: s. Heinr. Nissen krit. untersuch. üb. d. quellen der IVn u. Vn dekade des Livius s. 280.

Nachdem Polybios im jahre 166 nach Italien abgeführt war, entwarf er den plan zu seiner pragmatischen geschichte (ἱστορία πραγματική). s. quellenk. II § 8.

Digitized by Google

Register.

	Seite
Aeneas	48
Aeschines	89
Akusilaos	14
Anaximenes	64
Andokides	47
Androsthenes	70
Androtion	77
Antandros	82
Antiochos	24
Apollodoros	108
Aratos	97
Aristobulos	73. 74
Aristoteles	90
Aristoxenos	91
Athanis	82
Ἀθηναίων πολιτεία	46
Ἀτθίδες	77
Chares	71
Charon	13
Daïmachos	71
Damastes	33
Deinarchos	89
Deinon	63
Demetrios von Byzanz	99
Demetrios von Phaleron	94
Demochares	90
Demon	79
Demophilos	54
Demosthenes	89
Dikaearchos	92
Diodotos	71
Diokles	102
Dionysios von Milet	13
Dionysios Skytobrachion	13
Diyllos	76
Duris	80
Ἐφημερίδες	71
Ephoros	48
Eratosthenes	105
Euhemeros	96
Eumenes	71
Hegesippos	90
Hekataeos	11
Hellanikos	16
Herakleides	91
Hermippos	104
Herodotos	19
Hieronymos	74
Hippias von Elis	6
Hippys	14
Hypereides	90
Ὑπομνήματα βασιλικά	71
Idomeneus	96
Ion	46
Isokrates	48
Istros	105
Kadmos	10
Kallias	82
Kallimachos	104
Kallisthenes	66
Klearchos	94
Kleidemos	77
Kleitarchos	71
Krateros	80
Kratippos	31
Ktesias	31
Lykurgos	89
Lysias	47
Marsyas	64
Megasthenes	71
Menodotos	99
Neanthes	100
Nearchos	69
Nymphis	99
Onesikritos	68
Parische chronik	88
Patrokles	70
Phanias	93
Phanodemos	78
Pherekydes von Leros	15
Philinos	101
Philistos	39
Philochoros	79
Phylarchos	97
Platon	46
Polemon	107
Polybios	110
Psaon	76
Ptolemaeos	73
Satyros	110
Silenos	102
Skylax	44
Sosibios	103
Sosilos	102
Stesimbrotos	46
Theophrastos	91
Theopompos	54
Thukydides	24
Timaeos	83
Xanthos	12
Xenophon	34
Zenon	100

Digitized by Google

UNIVERSITY OF MICHIGAN
3 9015 02241 3507

Digitized by Google